δεσπότου. ὁ γὰρ ἐπιτρέψας τῷ[1]) οἰκέτῃ[2]) δανείζειν, αὐτὸς δοκεῖ παρρησίαν διδόναι τοῖς δανειζομένοις[3]) τοῦ καὶ[4]) ἐπ' αὐτὸν τὸν dispensátora καταβάλλειν. ταῦτα δὲ, ἐφ' ὅσον τῆς αὐτῆς ἔχεται ὁ δεσπότης περὶ τὸν οἰκέτην διαθέσεως. εἰ γὰρ ἀποστῇ τῆς τοιαύτης γνώμης, οὐκ ὀρθῶς οἱ δανειζόμενοι ἐπ' αὐτον καταβάλλουσιν. τί οὖν ὅτι τὸν dispensátora ἠλευθέρωσεν ὁ δεσπότης, εἶτα[5]) κατέβαλεν ὁ δανεισάμενος ἐπ' αὐτὸν[6]) τὰ χρήματα, ἆρα ἐλευθεροῦται τοῦ χρέους[7]); κατὰ μὲν τὸ ἀκριβὲς οὐκ ὀφείλει[8]) ἐλευθεροῦσθαι[9]), ἐπειδὴ ἑτέρῳ κατέβαλεν, ἤπερ ᾧ ἠβούλετο ὁ δεσπότης τῶν χρημάτων. ἐλευθερώσας γὰρ αὐτὸν[10]), δῆλον ὅτι τῆς τοιαύτης ἀπέστη ἐπ' αὐτῷ[11]) διαθέσεως, ἀλλ' ἐπειδὴ ἄτοπόν ἐστι τὴν εὔλογον ἄνοιαν φέρειν βλάβην τῷ καταβάλλοντι[12]), ἤρεσεν ἀπαλλάττεσθαι αὐτὸν διὰ τὸ φύσει δίκαιον τῆς ἐνοχῆς. ὥςπερ οὖν ἐπὶ[13]) dispensátoros παρὰ τὴν ἀκρίβειαν ἡ εὔλογος ἄγνοια βοηθεῖ[14]), οὕτω καὶ τοῦ mandátu[15]) re integra διαλυθέντος τελευτῇ τοῦ ἐντειλαμένου κινηθήσεται ἡ mandati διὰ τὸν αὐτὸν λογισμὸν, τουτέστι τὴν εὔλογον ἄγνοιαν[16]). 11. Τὸ γινόμενον εἰς ἐμὲ mandáton ἐξουσία 11. μοι πρόσεστι μὴ προςδέξασθαι[17]), ὑποδεχθὲν δὲ πληροῦν ὀφείλω ἢ τὴν ταχίστην ἀπαγορεύειν, ὥςτε τὸν ἐντειλάμενόν μοι ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου τὸ αὐτὸ πρᾶγμα πληρῶσαι. εἰ γὰρ μὴ οὕτως ἀπαγορεύσω, ὥςτε ἐν ἀκεραίῳ τὰ τοῦ πράγματος τῷ ἐντειλαμένῳ φυλάττεσθαι καὶ δύνασθαι οὐδὲν ἧττον ἀζημίως αὐτὸν[18]) πληροῦν, κατέχομαι τῇ mandati. τί γὰρ ὅτι ἤμελλον ἀποδημεῖν ἐγὼ[19]) ἐπὶ τήνδε τὴν χώραν, ἠβούλετο δὲ Titios καὶ αὐτὸς φίλος σοι ὢν ἀποδημῆσαι[20])· ἐνετείλω

---

1) οἰκείῳ ins. cum. praet. M. [ἰδίῳ L²]. 2) δούλῳ V. 3) —σαμένοις V. 4) d. Vi. R. 5) εἰ M. 6) M.: cet. επ' αὐτ. ὁ δ. 7) τοῦ χρ. ἐλ. L¹. 8) ὤφειλεν L². 9) d. L²., qui tamen ad. ἐλευθεροῦται γὰρ. 10) ὁ δεσπότης ad. L⁶. 11) επ' αὐτ. ἀπ. V. 12) M.: cet. —αλόντι. 13) τοῦ om. cum M. 14) —εῖται Vi. R. 15) —τωρος Vi. G. 16) τουτ... ἄγν. d. V. 17) M.: cet. ὑποδέχεσθαι. 18) d. V.: αὐτὸ Vi. R. 19) d. Vi. R. 20) —εῖν Vi. R.

ita pariter debito exonerabitur (dedit enim uoluntate domini). qui enim seruo suo fenerare permittit, is uidetur debitoribus facultatem dare eidem dispensatori soluendi. haec utique, quamdiu dominus in eadem sententia erga illum seruum perseuerauerit: nam si uoluntatem mutauerit, non recte debitores ei soluunt. quid ergo si dispensatorem dominus manumiserit et deinceps debitor soluerit ei pecuniam, num debito liberatur? et stricta quidem iuris ratione non debet liberari cum alii soluerit quam cui pecuniae dominus uoluerit. namque cum eum manumiserit, palam est talem de eo uoluntatem deseruisse. set cum absurdum sit probabilem ignorantiam damnum soluenti afferre, placuit eum naturali iure obligatione liberare. sicut igitur in dispensatore contra ius strictum probabilis ignorantia prodest, ita etiam, mandato re adhuc integra per mandantis mortem soluto, mandati agetur: propter eandem scilicet rationem, idest probabilem ignoran-
11. tiam. 11. Mandatum mihi delatum licet mihi non suscipere; susceptum uero consummare debeo aut quam primum renuntiare, ut mandator aut per semet ipsum aut per alium eandem rem exequatur. nam nisi ita renuntiauero, ut in integro negotium mandatori reseruetur, qui id nihilo minus absque detrimento perficere possit, mandati tenebor. quid ergo est? iter ad quandam regionem eram facturus: uolebat Titius et ipse

μοι ὥςτε[1]) *ἀγοράσαι*[2]) *ἀνδράποδα ἢ καὶ*[3]) *ἕτερόν τι. ἐὰν ὑποδέξωμαι τὸ* mandáton, *μέχρι τοσούτου ἀζημίως ἀπαγορεύσω, μέχρις οὗ οὐκ ἀπεδήμησεν ὁ* Titios *καὶ δυνατὸν αὐτῷ ἐντείλασθαι περὶ τῆς αὐτῆς ἀγορασίας. εἰ δὲ συμβῇ αὐτὸν ἀποδημῆσαι, τηνικαῦτα ἀπαγορεύσας ἐγὼ ἔνοχος ἔσομαι τῇ* mandati· *οὐκέτι γὰρ πληροῦν δι' ἑτέρου δύναται τὸ* mandáton *ὁ ἐντειλάμενος, ἀποδημήσαντος*[4]) *τοῦ* Titiu. *εἰ μέντοι εὔλογος αἰτία ἐπιγένηται, ἥτις οὐ συνεχώρησέ μοι*[5]) *ἀπαγορεῦσαι ἢ βραδέως ἀπαγορεῦσαι, συγγνώμης ἀξιωθήσομαι. τί γὰρ ὅτι δημοσία χρεία ἢ ἑτέρα τις ἀναγκαία πρόφασις οὐ συνεχώρει*[6]) *μοι τὸ* mandáton *ἀποπληρῶσαι;* 12. *Τὸ* mandaton *καὶ* in 12. diem *γίνεσθαι δύναται, οἷον· »ἐντέλλομαί*[7]) *σοι μετὰ δύο ἔτη τόδε πρᾶξαι», καὶ ὑπὸ αἵρεσιν, οἷον· «ἐντέλλομαί σοι* si nauis ex Asia uenerit *τόδε ποιῆσαι«.* 13. *Ὡς* 13. *ἐν τέλει δὲ ἰστέον ἐστὶν*[8]) *ὅτι τὸ* mandáton *ὀφείλει εἶναι* gratuîton· *εἰ γὰρ μὴ*[9]) *τοῦτό ἐστιν, εἰς ἕτερον μεταπίπτει συνάλλαγμα. μισθοῦ γὰρ ὁρισθέντος, ἄρχεται μίσθωσις*[10]) *καὶ ἐκμίσθωσις εἶναι. γενικῶς*[11]) *γὰρ εἰδέναι σε χρή, ἐφ' ὧν θεμάτων δίχα μισθοῦ ἀνασχομένου σοῦ τι*[12]) *ποιῆσαι ἡ* mandati *ἤγουν ἡ*[13]) depositi *συνίσταται ἀγωγή, ἐπὶ τούτων τῶν θεμάτων, μισθοῦ παρεντεθέντος, μίσθωσις καὶ ἐκμίσθωσις συναλλάττεται. διὸ εἰ κναφεῖ κναπτέαν ἢ λευκαντῇ*[14]) *λευκαντέαν παράσχω ἐσθῆτα*[15]) *ἢ ῥάπτῃ ῥαπτέαν, οὐδενὸς μισθοῦ ὁρισθέντος οὐδὲ ἐπαγγελθέντος, προῖκα τοῦ κναφέως ἢ ῥάπτου ταῦτα ποιεῖν ἐπαγγελλομένου*[16]) *ἐπὶ τῇ τούτων ἀναλήψει ἡ* mandati *νῦν*[17]) *ἁρμόσει ἀγωγή.*

---

1) *σοι* ad. Vi. R. 2) uoc. *ἢ* om. cum M. 3) ad. ex. M. Vi. R. 4) *ἤδη* om. cum M. Vi. R. 5) *με* Vi. R. 6) —*ρησε* Vi. R. 7) —*λλω* V. 8) d. Vi. R.: *ὅ ἐστι τὸ* M. 9) M. V.: cet. *μὴ γ.* 10) *εἶναι* h. l. omn. praet. M. 11) *ἑνικῶς* L². 12) *τοῦ* V. 13) d. V. F. 14) M. L⁶.: —*τρίᾳ* V.: cet. —*τεῖ.* 15) *ἐσθ. παρ.* L¹. L². V. L⁶. Vi. R. 16) *ἐπ. ταῦτ. π.* L⁶. 17) *μοι* V. L¹. F².: d. Vi. F¹. R.

tibi amicus eodem se conferre. mandaueras mihi ut mancipia
uel aliud quid tibi emerem. si mandatum suscepi eo usque
impune renuntiare possum, donec Titius nondum est profectus
atque potuit ei de eadem emptione mandari. nam si illo iam
profecto, renuntiauero, mandati tenebor; non enim adhuc per
alium potest mandator consummare mandatum, cum Titius
iam abierit. si tamen iusta causa intercessit, quae mihi renun-
tiare aut tempestiue renuntiare non permiserit, excusabor. quid
enim si publicum negotium uel alia quaeuis necessaria causa
12. mihi non permiserit mandatum consummare? 12. Mandatum
etiam in diem fieri potest, ueluti: 'mando tibi, ut post
biennium id facias': et sub condicione, ueluti: 'mando
13. tibi ut si nauis ex Asia uenerit id facias'. 13. In
summa sciendum est mandatum gratuitum esse debere; nisi
enim tale sit, in alium contractum cadit. mercede enim con-
stituta, incipit locatio et conductio esse. generaliter enim
scire debes, ex quibus casibus sine mercede negotio a te
suscepto, mandati seu depositi actio tibi competeret, iisdem
casibus, mercede interueniente, locatio et conductio contra-
hitur. et ideo si fulloni poliendam uel dealbatori dealban-
dam uestem dedero, uel sarcinatori sarciendam, nulla mer-
cede constituta neque promissa, gratis fullone uel sarcinatore
id se facturum pollicito, ad eam reciperandam mandati iam
competet actio.

De obligationibus quasi ex contractu[1]. Titulus 27.

Εἰπόντες[2] *περὶ τῶν ἐνοχῶν τῶν ἀπὸ* contráctu[3] *γένεσιν ἐχουσῶν, εἴπωμεν λοιπὸν περὶ τῶν ἐνοχῶν,* [a] *αἵτινες οὐ κυρίως ἀπὸ*[4] *συναλλαγμάτων κατάγονται, ἀλλ' ἐπειδὴ ἐξ ἁμαρτήματος οὐκ ἔχουσι τὴν*[5] *ὑπόστασιν, ὡσανεὶ ἀπὸ συναλλάγματος τίκτεσθαι δοκοῦσιν.* 1. *Ἐάν τις τοίνυν ἀπόντος μου τὰ ἐμὰ* 1. *διοικήσῃ πράγματα, ἑκατέρωθεν μεταξὺ ἡμῶν τίκτονται*[6] *ἀγωγαὶ καὶ ἐμοὶ μὲν τῷ δεσπότῃ τῶν πραγμάτων δίδοται*[7] *ἡ* directa negotiorum gestorum, *τῷ δὲ διοικήσαντι ἡ*[8] contraria. *ταύτας δὲ οὐκ ἔκ τινος συναλλάγματος κυρίως τίκτεσθαι φανερόν ἐστι· τότε γὰρ τίκτονται δηλαδὴ*[9], *ἡνίκα τις δίχα* mandátu *τῇ τῶν ἀλλοτρίων πραγμάτων διοικήσει ἑαυτὸν προσήγαγεν· ἐξ ἧς αἰτίας οἱ τῶν διοικηθέντων πραγμάτων δεσπόται καὶ ἀγνοοῦντες κατέχονται, καίτοι ἀπὸ συναλλάγματος οὐδεὶς ἀγνοῶν κατέχεται. τοῦτο δὲ ἐπινενόηται διὰ τὸ χρήσιμον τῶν ἀπολιμπανομένων, οἵτινες αἰφνιδίᾳ καὶ σπουδαίᾳ κατασχεθέντες ἀποδημίᾳ, οὐ δυνηθέντες τινὶ τῶν οἰκείων πραγμάτων*[10] *ἐντείλασθαι τὴν*[11] *διοίκησιν*[12], *ἀπεδέμησαν. τὸ δὲ χρήσιμόν ἐστιν ἐντεῦθεν*[13], *ἵνα μὴ ἀπρονόητα καταλειφθῇ τὰ πράγματα. οὐκ ἂν γάρ τις*[14] *τούτων ἐφρόντισεν*[15], *εἴγε μήτινα εἶχεν ἀγωγὴν ἐφ' οἷς ἐδαπάνησε περὶ τὴν τῶν ἀλλοτρίων πραγμάτων διοίκησιν. ὥςπερ δὲ ὁ χρησίμως διοικήσας τὰ ἀλλότρια πράγματα ἔνοχον ἔχει τὸν τοιούτων δεσπότην ἐφ οἷς ἐδαπάνησεν, οὕτω καὶ ἐκ τοῦ ἐναντίου*[16] *αὐτὸς ὁ διοικητὴς κρατεῖται ὥςτε τοὺς*[17] *τῆς διοικήσεως*

---

1) *Περὶ ἐνοχῶν* [—*ῆς* L^{6}. Vi. R.] *τῶν* [d. L^{6}. Vi. R.] *ὡσανεὶ ἀπὸ* [d. L^{6}.] *συναλλάγματος*. ad. libri. ed. 2) *οὖν* ad. Vi. R. 3) ser. M.: qui sq. *τὴν* d. 4) *τῶν* ins. Vi. R. 5) d. Vi. R. 6) *αἱ* ins. L^{2}. 7) *τίκτεται* L^{6}.: *ἀγωγὴ* ins. Vi. R. 8) om. F. 9) d. Vi. R. 10) *πάντων* M. 11) d. V. 12) *τὴν. δ. ἐντ.* Vi. F. R. 13) ita M.: cet. *ἐν τούτοις*: Vi. R. ad. '*δηλονότι ταῖς ἀγωγαῖς τῇ τε διρέκτᾳ καὶ τῇ κοντραρίᾳ*'. 14) *τινες* V. 15) —*σαν* V. 16) *εἰς τὸ ἐναντίον* V. 17) d. L^{1}. L^{2}. L^{6}. Vi. F^{1}. R.

a) pr— § 5 = Mai fr.

De obligationibus quasi ex contractu. Titulus 27.

Cum de obligationibus dixerimus, quae a contractu
originem ducunt, superest ut de obligationibus dispiciamus,
quae non proprie ex contractibus descendunt, set tamen, quia
non ex maleficio substantiam capiunt, quasi ex contractu
1. nasci uidentur. 1. Igitur si quis, cum abessem, mea gesserit
negotia, inter nos actiones ultro citroque nascuntur, et mihi
quidem rerum domino datur actio directa »negotiorum
gestorum«, negotiorum autem gestori contraria. has uero
ex nullo contractu proprie nasci manifestum est, quoniam
tunc nascuntur, cum sine mandato alienis negotiis gerendis
quisque se optulerit. ex qua causa rerum gestarum domini
etiam ignorantes obligantur, quamuis ex contractibus nemo
ignorans tenetur. idque receptum est propter absentium
utilitatem, qui continuo et festinanter proficisci coacti, cum
nemini potuerint rerum suarum administrationem demandare,
peregre profecti sunt. utilitas autem inde est, quod sine cura
negotia non deserantur: nemo enim ea curaturus esset, si
nullam habiturus esset actionem de eo, quod impendisset in
alienorum negotiorum gestione. sicut autem is qui utiliter aliena
gesserit negotia obligatum habet eorum dominum in id quod
impendit, ita et contra ipse gestor tenetur ut administrationis

λόγους ὑποσχεῖν ἀπαιτούμενος τὴν ἀκριβεστάτην καὶ τὴν[1]) ὑπερβάλλουσαν ἐπιμέλειαν τοῖς πράγμασι παρασχέσθαι[2]). οὐδὲ γάρ[3]) ἐξαρκεῖ αὐτῷ πρὸς τὸ μὴ κατασχεθῆναι τῇ negotiorum gestorum τὸ τοιαύτην ἐπιδεῖξασθαι ἐπιμέλειαν[4]) περὶ τὴν ἀλλοτρίαν οὐσίαν, οἵαν εἰώθει ἐπὶ τοῖς οἰκείοις ποιεῖσθαι πράγμασι, μόνον μέντοι εἴ[5]) ἕτερος ἐπιμελέστερος ἐπωφελέστερον ἤμελλε διοικεῖν τὰ πράγματα· τότε γὰρ οὐ πρὸς τὴν αὐτοῦ τοῦ διοικητοῦ, ἀλλὰ πρὸς τὴν ἑτέρου ἐπιμέλειαν τὰ τῆς διοικήσεως κρίνεται. 2. Καὶ ἐπίτροποι δὲ τῇ tutelae κατεχόμενοι 2.
ἀγωγῇ οὐκ ἀπὸ contráctu κυρίως ἔνοχοι γίνεσθαι νοοῦνται. ποῖον γὰρ συνάλλαγμα μεταξὺ ἐπιτρόπου καὶ pupíllu συναλλάττεται; καὶ μάλιστα ἐν ᾧ infans ἐστὶν ὁ púpillos[6]). ἀλλ' ἐπειδὴ οὐκ ἐξ ἁμαρτήματος ἐνταῦθα κατέχονται οἱ ἐπίτροποι, (ποῖον γὰρ ἁμάρτημα ἡ[7]) ἐπιτροπή, ἥτις ἐπὶ πρόνοιαν τῶν pupíllωn ἐπινενόηται;) ὡσανεὶ ἀπὸ συναλλάγματος κατέχεσθαι δοκοῦσιν. κἀνταῦθα δὲ ἐξ ἑκατέρου πλευροῦ τίκτονται ἀγωγαί[8])· οὐ μόνον γὰρ ὁ púpillos τὸν ἐπίτροπον ἔνοχον ἔχει[9]) τῇ tutelae ἀγωγῇ[10]), ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου οὗτος[11]) τῷ[12]) ἐπιτρόπῳ γίνεται ἔνοχος τῇ contrariᾳ tutelae, εἴτε τι ἐδαπάνησεν εἰς τὴν τοῦ pupíllu περιουσίαν ἢ ὑπὲρ αὐτοῦ γέγονεν ἔνοχος ἢ οἰκεῖον πρᾶγμα ὁ ἐπίτροπος δανειστῇ pupillariῳ ἐνεχυρίασεν. 3. Ὑπὸ τὸ[13]) quasi contrácton ὡσαύτως ἀνάγεται, 3.
ἐὰν μεταξύ τινων κοινὸν[14]) εἴη πρᾶγμα κοινωνίας ἐκτός· οἷον ἐπειδὴ ἅμα δύο[15]) τισὶ τὸ αὐτὸ elegateúθη[16]) πρᾶγμα ἢ ἐδωρήθη. καὶ ἐντεῦθεν ὁ[17]) ἕτερος τῷ ἑτέρῳ κατέχεται τῷ communi diuidundo δικαστηρίῳ, ἐπειδὴ μόνος καρποὺς ἐντεῦθεν ἔλαβεν· ἢ κινεῖ τις οἷα necessaria δαπανήματα πεποιηκὼς περὶ τὸ κοινὸν πρᾶγμα. οὐδὲ γὰρ αὕτη ἡ ἀγωγὴ

---

1) d. Vi. R. 2) M.: *παρασχεῖν* L6. Vi. R.: *παρέχεσθαι* L1. V. F. 3) d. V. 4) M.: cet. *ἐπιμ. ἐπιδ.* 5) M. L2.: cet. *εἴγε.* 6) infanses tino pup. M. 7) d. L1. L2. 8) *—εται ἀ—ή* V. 9) *ἔξει* L1. L2. V. L6. Vi. R. 10) d. V. 11) *τούτῳ* L1. L2. 12) d. V. 13) *τὸν* V. F2. 14) d. Vi. 15) *δύο ἅμα* V. 16) ita M. contra morem. 17) d. Vi. R.

rationem reddat, cum exactissimam et summam diligentiam
in negotiis gerendis adhibere debeat. nec enim sufficit ei,
ne actione negotiorum gestorum teneatur, talem diligentiam
in alienis rebus ostendere, qualem suis rebus adhibere solet,
si modo alius diligentior commodius fuisset negotia admini-
straturus: tunc enim non ad ipsius gestoris, set ad alterius
2. diligentiam administratio iudicatur. 2. Tutores quoque, qui
tutelae iudicio tenentur, non proprie ex contractu obligari
intelleguntur. nam quale negotium inter tutorem et pupillum
contrahitur, praesertim cum infans pupillus sit? set quia non
ex maleficio tenentur tutores (quale enim delictum tutela est,
quae ad pupillorum prouidentiam est introducta?), quasi ex
contractu teneri uidentur. et hoc etiam casu ultro citroque
nascuntur actiones; non tantum enim pupillus tutorem actione
tutelae obligatum habet, set ex contrario quoque ipse tutori
contraria tutelae actione tenetur, si uel impenderit aliquid in
rem pupilli, uel pro eo fuerit obligatus uel rem suam pupilli
3. creditori obligauerit. 3. Item inter obligationes quasi ex
contractu haec species refertur: si inter aliquos communis
res sit sine societate: ueluti quia duobus simul eadem res
legata donataue fuit. et hinc alter alteri tenetur communi
diuidundo iudicio, quod solus fructus inde perceperit, uel alter
cum altero eo nomine agit, quod necessarias impensas in
communem rem fecerit. nec enim proprie intellegitur eiusmodi

κυρίως ἐκ συναλλάγματος κατάγεσθαι δοκεῖ[1]· ποῖον γὰρ μεταξὺ ἀλλήλων συνέθεντο[2]) συνάλλαγμα; ἀλλ' ἐπειδὴ οὐκ ἀπὸ κακουργήματος[3]) κατέχεται ὁ ἕτερος, quasi contrácton εἶναι τοῦτο[3bis]) δοκεῖ. 4. Τὸ αὐτό ἐστιν, εἰ καί τινες εἶεν συγκληρονό- 4.
μοι, εἶτα ἕτερος κατὰ τοῦ ἑτέρου κινεῖ τὸ familiae erciscundae[4]) δικαστήριον ἐκ τῶν εἰρημένων[5]) ἐπὶ τῷ communi diuidundo αἰτιῶν. 5. Εἰ δὲ καί τις τελευτῶν ἐνστήσηταί με κληρονόμον, 5.
legateúsῃ[5]) δὲ παρ' ἐμοῦ πρᾶγμα ἀλλότριον, κατέχομαι ἐγὼ τῷ legatarίῳ ἕνεκα τοῦ καταλειφθέντος τῇ ex testamento. αὕτη δὲ ἡ ex testamento[6]) οὐκ ἀπὸ συναλλάγματος ἐγείρεται, πρὸς τίνα γὰρ δοκεῖ συνάλλαγμα πεποιῆσθαι ὁ legatários; οὔτε πρὸς τὸν testátora, ὁπότε ἀγνοοῦντος τοῦ legatariu τοῦτο καταλιμπάνει αὐτὸς[7]) ὁ διαθέμενος, οὔτε πρὸς τὸν κληρονόμον, ὁπότε καὶ ἄκοντος αὐτοῦ τῷ legatarίῳ[8]) καταλιμπάνεται. ἀλλ' ἐπειδὴ οὐ κακούργημα τὸ πραχθὲν[9]), ἀπὸ τοῦ quasi contráctu ἔνοχος δοκεῖ γίνεσθαι ὁ δεσπότης. 6. Ὁμοίως ἐάν 6.
τις[10]) κατὰ πλάνην τὸ μὴ ἐποφειλόμενόν μοι καταβάλῃ μοι, ὡς ἀπὸ contráctu ἐνέχεσθαι δοκῶ. ἐπὶ τοσοῦτον γὰρ ἀπὸ συναλλάγματος κυρίως οὐ γίνομαι ἔνοχος, ὅτι εἴ τις[11]) ἀκριβεστέρῳ προσέχει[12]) λογισμῷ, μᾶλλον, ὡς εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν, ἀπὸ διαλύσεως ὑποπτευομένου ὀφελήματος, οὐ μὴν[13]) ἐκ συστάσεως ἔνοχός εἰμι. ὁ[14]) γὰρ ἐν διαθέσει καταβαλόντος τὸ χρέος διδούς, ἐπὶ τοῦτο δίδωσιν, ὥςτε τὴν νομιζομένην ὑπεῖναι ἐνοχὴν τῇ καταβολῇ διαλύειν, ἥπερ συνιστᾶν. ἀλλ' ὅμως ὁ λαβὼν[15]) ἔνοχος γίνεται τῷ[16]) condicticiῳ, ὥςπερ ὁ δανεισάμενος. 7.[a]) Οὐκ ἐπὶ πάσης δὲ δόσεως 7.

---

1) δοκ. κατ. L6. 2) ἔθεντο L1.: d. V. 3) M. L6.: cet. κακουργ. χάριν. 3bis) τ. ε. L6. 4) herc. M. 5) εἰς τὸ εἰρημένον V. 5) scr. M. sicut et sq. legatarίῳ. 6) d. V. L6. F. 7) M. L2.: —τὸ L1: —τῷ F.: d. L6. Vi. R. 8) τὸ ληγάτον L6. 9) τοῦ κακουργήματος πραχθέντος M. 10) τι V. F2. 11) d. L6. 12) εἰ προσχῇς L6.: scr. cum. M.: cet. —σχηται. 13) ἢ L1. V. F. 14) τοῦ M. 15) συλλαβὼν L6. 16) ἰνδεβίτῳ ad. L1. L2. V. L6. Vi. F1. R.

a) Voell. II 1309.

actionem ex contractu nasci, quid enim inter se contraxerunt?
set quia non ex maleficio alteruter tenetur, quasi ex contractu
4. teneri uidetur. 4. Idem est et si cum quidam essent coheredes,
alter in alterum familiae erciscundae iudicio agat, ex his
scilicet causis, quae de iudicio communi diuidundo dictae sunt.
5. 5. Si quis moriens me heredem instituerit, legauerit autem
a me rem alienam, teneor egomet legatario propter rem
legatam ex testamento. actio autem ex testamento non
ex contractu nascitur; nam cum quo contraxisse uidetur lega-
tarius? non sane cum testatore, quoniam ignorante legatario
id testator ei relinquit; neque cum herede, cum potius eo
inuito id relinquatur. set quia non est maleficium quod gestum
6. est, quasi ex contractu obligari dominus intellegitur. 6. Item
si quis per errorem quod mihi non deberetur mihi soluerit,
quasi ex contractu teneri uideor. adeo enim non proprie ex
contractu teneor, ut si quis suptiliorem sequatur rationem,
magis, uti superius diximus, ex dissolutione eius quod deberi
putatur, quam ex debiti constitutione obligari videar; nam
qui eo animo dat, ut debitum soluat, ideo dat ut obligationem,
quam existere putat, solutione magis distrahat, quam contra-
hat. set tamen proinde is qui accepit condictione tenetur,
7. atque ille cui mutuum datum est. 7. Non in omnibus causis

τῷ κατὰ πλάνην καταβάλλοντι δίδοται τοῦ repetiteúein *ἄδεια. κεκανόνισται γὰρ παρὰ τοῖς ἀρχαίοις ἐξ ὧν αἰτιῶν ἐξ ἀρνήσεως τὸ τῇ ἀληθείᾳ ἐποφειλόμενον διπλασιάζεται, ἐκ τῶν αὐτῶν αἰτιῶν τὸ* indebitως *καταβληθὲν οὐκ ἐπιδέχεται* repetitiona, *οἷον*[1]) *ἀπὸ*[2]) *τοῦ* Aquiliu. *ἐὰν γάρ τις ζημιώσῃ με θέλων*[3]), *ἔχω κατ' αὐτοῦ τὸν* Aquilion, *εἰ δὲ ἀπαιτούμενος θεραπεῦσαί μοι τὴν ζημίαν ἀρνήσηται τὸ ἐποφείλειν, εἶτα ἐλεγχθῇ, διπλάσιον καταβάλλει. εἰ μέντοι μὴ ζημιώσας, ὑποπτεύσας δὲ αὐτὸν ἐζημιωκέναι με,* indebitως[4]) *καταβάλλει, οὐ* repetiteúei *τὸ δοθέν. τὸ αὐτὸ ἔφασκον οἱ παλαιοὶ καὶ ἐπὶ τούτων τῶν ληγάτων χώραν ἔχειν, ἅτινα* cértως *κατὰ* damnationa *κατελιμπάνετο οἱῳδήποτε προσώπῳ*[5]). Cérton *δὲ ληγάτον ἐστιν ἐὰν εἴπω· »καταδικάζω σε, ὦ κληρονόμε, δοῦναι τῷδε*[6]) *ἑκατὸν νομίσματα«. εἰ γὰρ εἴπω· »καταδικάζω σε δοῦναι τὰ ἐν κιβωτῷ«, ἐπειδὴ οὐκ ἔστι πρόδηλος ἡ ποσότης,* incerton[7]) *ληγάτον ἐστίν*[8]). *ἐπὶ τῶν* cértων *τοίνυν κατὰ* damnationa legateuoménων, *ἀρνησάμενος τὸ*[9]) *ἐποφείλειν ὁ κληρονόμος, εἶτα ἐλεγχθεὶς, τὸ διπλάσιον κατέβαλλεν, μὴ ἐποφείλων δὲ*[10]), *ἴσως δὲ*[11]) *καὶ*[12]) *ὡς ἐποφείλων πλανηθεὶς δεδωκὼς*[13]), *οὐκ ἠδύνατο* repetiteúein. *ἡ δὲ τοῦ ἡμετέρου βασιλέως διάταξις, ὁπότε μίαν φύσιν ὥρισε ληγάτοις τε καὶ* fideicommissois, *τὴν ἐξ ἀρνήσεως δίπλωσιν*[14]) *οὐ μόνον ἐπὶ*[15]) *ληγάτων, ἀλλὰ καὶ ἐπὶ* fideicommissων *ἐκτείνεσθαι*[16]) *βούλεται, ἀλλ' οὐκ ἐπὶ παντὸς ληγαταρίου*[17]), *ἀλλ' ἐπὶ τούτων*[18]) *μόνων τῶν ληγάτων καὶ* fideicommissων, *ἅτινα ταῖς ἱεροτάταις ἐκκλησίαις ἢ λοιποῖς σεπτοῖς τόποις καταλιμπάνεται, οὓς ἢ θρησκείας ἢ εὐσεβείας σκόπῳ τιμῶμεν. εἰ δὲ μηδενὸς καταλειφθέντος*[19]) *ληγάτου ἢ* fideicommissu *σεπτῷ τόπῳ*[20]), *νομίζων*

---

1) *ὡς* ins. Vi. R. 2) *ἐπὶ* L⁶. Vi. R. 3) ad. M. 4) d. V. 5) *τρόπῳ* V. 6) *τόνδε* L². 7) '*τὸ*' d. M. *ἐστὶ τὸ λ.* V. 8) ad. ex M. *ἐπι.* 9) d. F. 10) ita M.: cet. *εἰ δὲ [καὶ] μὴ ἐποφ.* 11) d. F.: *ἴσως τε* M. 12) d. Vi. R. 13) scripsi pro *δέδωκε.* 14) *διπλασίονα* Vi. 15) *τῶν* ins. V.: *λεγιτίμων* L². 16) M. V.: cet. *ἐπεκτ.* 17) *ληγάτου* L¹· L². Vi. F. R. 18) d. Vi. F¹. R. 19) *—βληθέντος* Vi. 20) *—οῖς —οις* L⁶.

ei, qui per errorem soluit, datur repetendi facultas. receptum est enim apud ueteres, ex quibus causis infitiando debitum duplatur, ex his causis non debitum solutum repeti non posse, ueluti ex lege Aquilia. si enim quis mihi sciens damnum adferat, cum eo ex lege Aquilia habeo actionem: quod si quis conuentus, ut mihi damnum reficiat, se quidquam debere infitietur, deinde conuincatur, duplum soluit. si quis ergo, qui nullum damnum adtulisset, falso arbitratus id se fecisse, indebitum soluat, datum non repetit. idem dicebant ueteres in his quoque legatis locum habere, quae certa per damnationem cuicumque fuissent relicta. certum autem legatum est, si dicam: 'damno te, heres, illi ut des aureos centum'. nam si dicam: 'damno te ut des quae in arca sunt', cum non sit manifesta quantitas, incertum legatum est. in his ergo, quae per damnationem certa legarentur, heres qui infitiatus fuisset sese debere, duplum soluebat; quod si contra non deberet et per errorem tanquam debens solueret, repetere non poterat. Principis autem nostri constitutio, cum unam naturam legatis et fideicommissis definierit, duplicationem per infitiationem in legatis non solum, set etiam in fideicomissis, extendi iubet, at non pro omnibus legatariis; set in his tantum legatis et fideicommissis, quae sanctissimis ecclesiis ceterisque uenerabilibus locis relinquuntur, quae colimus religionis uel pietatis intuitu. si uero, cum nullum sit uenerabili loco legatum fideicommissumue relictum,

ἐγὼ καταλελεῖφθαι καταβάλω, ἀργεῖ ἡ repetitio, *διὰ τὸν ἐποφείλοντα τὰ τοιαῦτα τὸν*[1] *κληρονόμον, εἶτα ἀρνησάμενον, τῇ τοῦ διπλασίονος ὑποπίπτειν καταβολῇ.*

Per quas personas nobis obligatio adquiritur[2]).
Titulus 28.

Εἰρήκαμεν περὶ τῶν ἐνοχῶν τῶν ἀπὸ contractu *ἢ* quasi contractu *φυομένων· νῦν ὀφείλομεν εἰπεῖν ὅτιπερ αὗται αἱ ἐνοχαὶ προςγίνονται ἡμῖν, οὐ μόνον δι' ἡμῶν αὐτῶν, ἀλλὰ καὶ δι'*[3]) *ἐκείνων τῶν προσώπων, ἅτινα ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ ἐστιν*[4]), *οἷον διὰ τῶν ἡμετέρων οἰκετῶν ἢ υἱῶν*[5]) *ὑπεξουσίων. ἀλλὰ τὰ μὲν διὰ τῶν*[6]) *οἰκετῶν ἡμῖν προςποριζόμενα πάντα ἡμέτερα γίνεται*[7]), *τὰ δὲ διὰ*[8]) *τῶν ὑπεξουσίων παίδων*[9]) *διὰ τῆς ἐνοχῆς προςποριζόμενα, ταῦτα διαιρεῖται μετὰ μίμησιν τῆς τῶν πραγμάτων δεσποτείας τε καὶ χρήσεως, ἣν διάταξις τοῦ ἡμετέρου βασιλέως διέκρινεν, ἵνα ὅπερ ἐκ τῆς ἀγωγῆς κέρδος προςγίνηται, τούτου ἡ μὲν χρῆσις εἴη παρὰ τῷ πατρὶ, ἡ δὲ δεσποτεία φυλαττέσθω*[10]) *τῷ παιδὶ, τοῦ*[11]) *πατρὸς δηλαδὴ κινοῦντος τὴν ἀγωγὴν κατὰ τὴν*[12]) *τῆς νεαρᾶς αὐτοῦ καὶ*[13]) *θείας διατάξεως διαίρεσιν.* 1. *Καὶ ἐλεύθερα δὲ πρόσωπα καὶ ἀλλότριοι οἰκέται, οὓς* bona fide *νεμόμεθα, προςπορίζουσιν ἡμῖν ἐνοχὰς, ἀλλ' ἐκ δύο μόνων*[14]) *αἰτιῶν, τουτέστιν ἐάν τι ἔχωσιν* ex operis suis *ἢ* ex re nostra *προςπορίζουσιν*[15]) *ἡμῖν*[16]). 2. *Ἀλλὰ καὶ δι' ἐκείνου τοῦ οἰκέτου,*

---

[1]) d. L[6]. [2]) *Διὰ ποίων προσώπων ἡμῖν* [*ἡμ. προσ.* V. L[6]. Vi. F. R.] *ἡ ἐνοχὴ ἐπιζητεῖται.* ad. libri. ed. [3]) d. V. [4]) *ἐστ. ἐξ.* L[6]. [5]) *σούων ἢ* L[6]. Vi. [6]) *ἡμετέρων* ins. Vi. R. [7]) *—ονται* Vi. [8]) d. F. [9]) *οἰκείων παίδ. ὑπ.* Vi. R. [10]) M. L[2].: cet. *—ττηται: παρὰ* ins. V. [11]) d. F. [12]) d. L[2]. [13]) d. L[6]. [14]) M. V. cet. *—ον.* [15]) M. L[6].: *—ζωσιν* V. L[1]. F.: d. Vi. R. [16]) ad. ex. M.

ego relictum putans soluam, cessat repetitio: nam et heres, qui eiusmodi legata debet et infitietur, duplum soluere cogitur.

Per quas personas nobis obligatio adquiritur.
Titulus 28.

Diximus de obligationibus, quae ex contractu uel quasi
ex contractu nascuntur; nunc est dicendum ipsas obligationes
nobis adquiri non solum per nosmet ipsos, set etiam per eas
personas, quae in nostra potestate sunt, ueluti per seruos
nostros et filios, qui in potestate sunt. set quae per seruos
nobis adquiruntur omnino nostra fiunt, quae autem per liberos,
quos in potestate habemus, ex obligatione adquiruntur, diui-
duntur secundum exemplum rerum proprietatis et ususfructus,
quod nostri principis discreuit constitutio: ut quod ab actione
commodum perueniat, huius usus fructus apud patrem sit,
dominium autem filio seruetur, scilicet patre actionem mo-
uente, secundum nouellae eius et sacrae constitutionis
1. distinctionem. 1. Liberae quoque personae et serui alieni,
quos bona fide possidemus, nobis actiones adquirunt, set
tantum ex duabus causis, id est si quid ex operis suis
2. habeant uel ex re nostra nobis adquirant. 2. Per
eum quoque seruum, in quo usum fructum uel usum

ἐφ' οὗ usúfructon *ἢ* ûson *ἔχομεν, ὁμοίως ἐκ δύο τῶν αὐτῶν
αἰτιῶν γίνεται ἡμῖν προςπορισμός, ἀλλ' ἔξωθεν δεῖ εἰδέναι,
ὅτι τὰ* ex operis[a]) *τοῦ οἰκέτου, ἐφ' οὗ τὸν* ûson *ἔχομεν οὐ
προςπορίζεταί μοι, εἰ μὴ ἄρα αὐτὸς ὁ οἰκέτης ἔτυχεν*[1]) *ἑαυτὸν
μισθώσας.* 3. *῾Ο*[2]) *ἐπίκοινος οἰκέτης* pro dominica parte, *του-* 3.
τέστι καθ' ὅσον μέρος ὑφ' ἑνὸς ἑκάστου τῶν δεσποτῶν δεσπόζεται, προςπορίζει τοῖς δεσπόταις, ἐκείνου δήλου ὄντος, ὡς εἰ ἑνὶ τῶν δεσποτῶν ὀνομαστὶ μόνον ἐπερωτήσῃ, οἷον· »δώσεις Titi*ῳ τῷ ἐμῷ δεσπότῃ«; αὐτῷ μόνῳ προςπορίζει, ὥςπερ εἰ καὶ ἐφ' ὀνόματι*[3]) *αὐτοῦ μόνου* Titiu *ἔλαβέ τι κατὰ* traditiona. *εἰ δὲ*[4]) *κελεύσει ἑνὸς τῶν δεσποτῶν ἐπερωτήσῃ ὁ οἰκέτης, ὀνόματος μὴ μνησθεὶς ἐν τῇ ἐπερωτήσει, πολλὴ μὲν ἐκεκίνητο*[5]) *παρὰ τοῖς παλαιοῖς ἀμφιβολία περὶ τούτου· ὅμως* decisiωn *γέγονε τοῦ θειοτάτου ἡμῶν βασιλέως ἡ*[6]) *λέγουσα ἐκείνῳ μόνῳ προςπορίζεσθαι τῷ κελεύσαντι*[7]), *ὥςπερ καὶ ἀνωτέρω*[8]) *εἴρηται ἐπὶ τὸ ἰσοδυναμεῖν τῇ μνήμῃ τοῦ ὀνόματος τὴν κέλευσιν.*

Quibus modis obligatio tollitur[9]). Titulus 29.

Εἰπόντες τὰς συστάσεις τῶν ἐνοχῶν εἴπωμεν αὐτῶν καὶ τὰς λύσεις[b]). *τὸ γὰρ τρόπῳ τινὶ συνιστάμενον τοῦτο καὶ τρόπῳ τινὶ διαλύεται. ἀναιρεῖται κατὰ πρώτην τάξιν πᾶσα ἐνοχὴ τῇ* solutioni[10]), *ἡνίκα αὐτὸ τὸ ἐποφειλόμενον καταβληθῇ, οἷον νομισμάτων ἐποφειλομένων εἰ νομίσματα καταβληθῇ. εἰ δὲ ἀντὶ νομισμάτων σῖτος ἢ καὶ ἕτερόν τι ἢ καὶ τὸ ἐναντίον*

1) *ἔτ. ὁ οἰκ.* L⁶. 2) d. L⁶. 3) —*ος* Vi. R. 4) *καὶ* ins. Vi. R. 5) M.: cet. *ἐκινεῖτο.* 6) d. L⁶. 7) —*εύοντι* V. 8) M.: *ἄνω* cet. [*ἄνωθεν* L⁶]. 9) *Τίσι τρόποις ἡ ἐνοχὴ αἴρεται* [*λύεται* L⁶. Vi. R.] ed. libri. 10) *τουτέστι* [d. V.] *τῇ* [d. L⁶.] *καταβολῇ* ad. libri. ed.

a) Cfr. Ulp. D. 7, 8, 14 pr. b) Mai fr.

habemus, similiter ex duabus istis causis nobis adquiritur:
admonendus es tamen ex operis illius serui, in quo usum
habemus, non adquiri nobis nisi forte seruus ipse suas loca-
3. uerit operas. 3. Seruus communis pro dominica parte, id est
pro qua parte cuiusque in dominio est, dominis adquirit; illud
uero manifestum est si uni domino nominatim stipulatus erit,
ueluti: Titio domino meo dabis? illi soli adquirere, proinde
ac si per traditionem eius tantum Titii nomine quid acceperit.
set si unius domini iussu stipulatus fuerit seruus, nominis in
stipulatione nulla mentione facta, magna erat apud ueteres de
hac re controuersia. decisio tamen processit sacratissimi prin-
cipis nostri, ut illi soli adquiratur qui iusserit; nam, ut supra
dictum est, quod nomen adiectum, idem efficit iussus.

Quibus modis obligatio tollitur. Titulus 29.

Cum de obligationum origine dixerimus, dicendum est de earum solutione. quidquid enim modis quibusdam constituitur id et quibusdam modis resoluitur. tollitur in primis omnis obligatio solutione, quotiens id quod debetur soluitur; ueluti, nummis debitis, si nummi soluentur. si vero pro nummis, frumentum seu aliud quid, aut etiam contra, soluatur,

κατεβλήθη, συναινέσει δὲ creditoros *τοῦτο γέγονε καὶ οὕτως ἀπαλλάττεται τοῦ χρέους ὁ* debitωr. *οὐ διαφέρομαι*[1]) *δὲ τίς ἐστιν ὁ καταβαλὼν, πότερον αὐτὸς ὁ*[2]) *ἐποφείλων ἢ ἕτερος ὑπὲρ αὐτοῦ. ἐλευθεροῦται γὰρ ὁ* debitωr *καὶ ἑτέρου καταβάλλοντος εἴτε εἰδότος εἴτε*[3]) *ἀγνοοῦντος ἢ καὶ ἄκοντος γέγονεν ἡ καταβολή. τοῦ δὲ*[4]) réu *καταβάλλοντος καὶ οἱ γεγονότες ὑπὲρ αὐτοῦ ἔνοχοι*[5]) *ἐλευθεροῦνται, τουτέστιν ἐγγυηταὶ καὶ* mandátores. *εἰ δὲ ἐγγυητὴς καταβάλῃ, ἐλευθεροῖ τὸν πρωτότυπον, ἀπαλλάττει δὲ καὶ ἑαυτὸν τῆς ἐνοχῆς.* 1. *Καὶ ἡ*[6]) 1.
acceptilatiωn *διαλύει τὴν ἐνοχήν. ἐστὶ δὲ*[7]) acceptilatiωn[8]), *ὡς ἐν ὅρῳ, εἰκονικὴ καταβολὴ ῥήμασι τυπικοῖς γινομένη· τὸ γὰρ ἐκ τῆς* uerbis *ἐνοχῆς ἐποφειλόμενόν μοι τοῦτο εἰ βουληθῶ σοι*[9]) *συγχωρῆσαι, δύναται οὕτως γίνεσθαι συγχώρησις, ἐὰν ἀνάσχωμαι σοῦ τοῦ*[10]) debitoros *ταῦτα λέγοντος τὰ ῥήματα* »quod ego tibi promisi habesne acceptum?« *κἀγὼ δὲ ἀποκρίνωμαι·* »habeo«[11]). *ἀλλὰ καὶ ἑλληνιστὶ δύναται γίνεσθαι* acceptilatiωn, *μόνον εἰ οὕτως γίνεται, ὥςπερ εἴωθε γίνεσθαι καὶ ῥωμαϊστὶ·* »*ἔχεις λαβὼν δηνάρια τόσα*«; »*ἔχω λαβών*«. *ἡ δὲ* acceptilatiωn, *καθὰ εἴρηται, μόνην διαλύει τὴν* uerbis *ἐνοχὴν, οὐ μὴν τὰς λοιπὰς, οἷον τὴν* re *ἢ* litteris *ἢ* consensu. *ἀκόλουθον γὰρ ἐνομίσθη εἶναι τὴν*[12]) *ῥήμασι συνισταμένην ἐνοχὴν ἑτέροις δύνασθαι ῥήμασι συγκαταλύεσθαι, εἰ δὲ ἑτέρωθέν ἐστι*[13]) *μοί τις ἔνοχος, οἷον ἀπὸ τῆς* re, litteris *ἢ* consensu *ἢ ἀπὸ τῆς* negotiorum gestorum *ἢ* ex testamento, *βουληθῶ δέ σοι τοῦτο συγχωρῆσαι τὸ χρέος, δύναμαί σε ἐπερωτᾶν οὕτως·* »*ὁμολογεῖς διδόναι μοι ὅπερ ἐποφείλεις ἐκ τῆςδε τῆς*[14]) *ἀγωγῆς*«; *καὶ σοῦ εἰπόντος·* »*ὁμολογῶ*«, *ἡ μὲν προτέρα ἀνῄρηται ἀγωγὴ*[15]), *τίκτεται δὲ ἡ* uerbis, *καὶ*

---

1) —*όμεθα* Vi. F. R. 2) d. V. 3) ita Vi. R.: cet. *ἢ*. 4) d. V. 5) *ἔν. ὕπ. αὐτ.* L⁶. 6) ad. ex. M. m. 2ª. 7) *καὶ* ins. L². 8) *ἀκ. δέ ἐστι* Vi. R. 9) d. L⁶. 10) *τοῦ σοῦ* Vi. 11) *τουτ. ὅπερ ἐγώ σοι ὡμολόγησα ἔχεις ληφθέν; καὶ ἀποκρίνεται* [—*ηται* R. —*ωμαι* L¹. V. F.] *ὁ κρεδίτωρ ἔχω* cet. libri. ed. set L⁶. alio ordine. glossema est. 12) *τοῖς* V. L¹. F. 13) *εἰ* F. *ἔσῃ* M. 14) d. F. 15) d. M.

et, consentiente creditore, id fiat, et ita liberatur debitor. neque interest quis soluat; utrum ipse debitor an alius pro eo. liberatur enim debitor et alio soluente, siue sciente siue ignorante uel etiam inuito eo solutio fiat. cum reus soluerit, etiam si qui pro eo sunt obligati liberantur; idest fideiussores et mandatores. si fideiussor soluerit, reum liberat, et se
1. obligatione exsoluit. 1. Acceptilatio quoque obligationem tollit. acceptilatio est, si eam definire uelis, »imaginaria solutio sollemnibus uerbis facta«. quod enim mihi ex uerborum obligatione debetur, id si uelim tibi remittere, poterit sic remissio fieri, ut patiar te debitorem haec dicere uerba: »quod ego tibi promisi habesne acceptum?«, egoque respondeam: 'habeo'. set et graece potest fieri acceptilatio, dummodo sic fiat, ut etiam latine fieri solet: »ἔχεις λαβὼν δηνάρια τόσα; ἔχω λαβών«. acceptilatio, ut dictum est, uerborum tantum obligationem dissoluit, non uero ceteras, ueluti litterarum et consensu. consentaneum enim uisum est uerbis factam obligationem aliis uerbis posse dissolui. sin autem alia ex causa quis mihi obligatus sit, ueluti re uel litteris uel consensu, uel negotiis gestis uel ex testamento, uoluerimque tibi hoc debitum remittere, possum ita a te stipulari: »quod mihi ex hac causa debes dare spondes?«: et si dixeris: 'spondeo', prior tollitur obligatio, uerborum autem obligatio nascitur, et deinceps hac contracta, con-

λοιπὸν συστάσης τῆς uerbis, ἀκολούθως ἡ acceptilatiωn ἐπάγεται[1]. καὶ ἐν ἐκείνῳ μέν ἐστι διαφορὰ solutionos καὶ acceptilationos, ὅτι ἡ μὲν solutiωn πᾶσαν διαλύει ἐνοχὴν, ἡ δὲ acceptilatiωn τὴν uerbis, ἐν ἐκείνῳ δέ ἐστι[2]) κοινωνία, ὅτι ὥςπερ μέρος χρέους καταβληθὲν ἐν μέρει διαλύει τὴν ἐνοχὴν, οὕτω καὶ εἰς μέρος δύναται γίνεσθαι ἡ[3]) acceptilatiωn[a]).

2. Ἐπειδὴ δὲ εἰρήκαμεν τὸν ἑτέρωθεν ἐποφείλοντα ἐπερω- 2.
τηθέντα καὶ γενόμενον ἔνοχον τῇ uerbis[4]) δύνασθαι τότε διὰ τῆς acceptilatíonos ἐλευθεροῦσθαι, ἀναγκαῖον εἰπεῖν περὶ τῆς[5]) aquilianῆs ἐπερωτήσεως, ἥτις ἐπερώτησις πᾶσαν ἐνοχὴν εἰς ἑαυτὴν δύναται κατάγειν[6]) καὶ διὰ τῆς acceptilationos ἀναιρεῖν. ἡ γὰρ aquilianὴ ἐπερώτησις πᾶσαν enoúateuen[7]) ἐνοχὴν, ὑπὸ δὲ Gállu Aquilíu τοῦ νομικοῦ οὕτω σύγκειται· »εἴ τι μοι ἐξ »οἱαςδήποτε αἰτίας δοῦναι ἢ[8]) ποιῆσαι σε[9]) χρὴ[10]) ἔχρην »ἢ púrωs ἢ in diem καὶ ὧν πραγμάτων χάριν ἐμοὶ »κατὰ σοῦ ἀγωγὴ in rem ἢ personalía ἐστὶν ἢ ἔσται »καὶ ὅπερ ἂν σὺ ἐμὸν ἔχῃς κρατῇς[11]) νέμῃ (διαφορὰ δὲ[12]) »τοῦ κρατεῖν καὶ τοῦ νέμεσθαι αὕτη[13]), ὅτι[14]) κρατεῖν[15]) »ἐστι φυσικῶς κατέχειν[b]), νέμεσθαι δὲ τὸ ψυχῇ δεσπόζοντος »κατέχειν) ἢ ἐνεμήθης ἢ δόλον ἐποίησας ὅπως μὴ νε»μηθῇς (τυχὸν γὰρ κληρονομίαν ἐλθοῦσαν[16]) εἰς ἐμὲ ὑπὸ τὴν »ἑαυτοῦ ἐποιήσω κατοχὴν[17]), εἶτά τινα τῶν πραγμάτων ἐνε»μήθης· κατασχεθήσῃ γὰρ καὶ ἐφ' οἷς κατὰ δόλον οὐκ ἐνεμή»θης), ὅσον[18]) ἔστιν ἓν ἕκαστον τούτων τῶν πραγ»μάτων, τοσαῦτα χρήματα δώσειν ἐπερώτησε μὲν[19]) »Aûlos Agérios[20]), ὡμολόγησε δὲ Numérios Negídios.«

---

1) εἰ ins. V. 2) M.: cet. ad. ἐν αὐτοῖς [αὐτῶν L¹. αὐτοῖς L². L⁶.]. 3) ὁ. L¹. L². 4) καὶ ins. L². 5) ἀκκεπτιλατίωνος καὶ [διὰ cj. R.] τῆς ins. omn. praet. M. 6) —αγαγεῖν M. 7) M. V.: cet. —σεν. 8) τι ad. Vi. R. 9) ad. ex. Vi. R. 10) ἢ d. ex. M. 11) M. L⁶.: cet. —εις: ἢ ins. L¹. Vi. R.: et ante νέμ. F. 12) γὰρ Vi. R. 13) ἐστὶ V. ins. 14) τὸ ins. V. Vi. F. R. 15) μὲν d. M. L¹. L². 16) εἰσελθ. Vi. F¹. R. 17) διακ. V. 18) —ον Vi. F. R. ἂν ins. L¹. V. Vi. F. R. 19) ὁ ins. M. V. L¹. 20) Agerούχιος M. L¹. V.

a) schol. Bas. I 666. b) Cfr. Paul. D. 9, 4, 22, 2.

uenienter acceptilatio adhibetur. in illo quidem differentia solutionis et acceptilationis est, quod solutio omnem tollit obligationem; acceptilatio uerborum tantummodo; in illo autem adfinitas, quod sicuti pars debiti soluta pro parte obligationem
2. soluit, ita et in partem acceptilatio fieri potest. 2. Cum autem dixerimus eum qui alia ex causa debet, si promiserit uerbisque se obligauerit, tunc posse per acceptilationem liberari, oportet de aquiliana loqui stipulatione. quae stipulatio omnem obligationem in se transferre potest et per acceptilationem tollere. aquiliana enim stipulatio omnes nouat obligationes et a Gaio Aquilio iure consulto ita composita est: ›quidquid te mihi ›ex quacumque causa dare uel facere oportet, uel ›oporteret, siue pure siue in diem, quarumque ›rerum gratia mihi tecum in rem uel personalis actio ›est eritue, quodque tu meum habes detines possides‹ (differentia autem inter tenere et possidere haec est, quod tenere est naturaliter rem detinere, possidere autem animo dominantis detinere) ›possideresue doloue fecisti, quo minus possideas‹ (forte enim hereditatem mihi delatam in tuam possessionem redegisti, deinde aliquas tantum res possedisti: teneberis enim et propter eas quas dolo non possederis) ›quanti quaeque earum rerum erit, tantam pecuniam dari stipulatus est Aulus Agerius, spopondit Nu-

εἶτα μετὰ τὸ γενέσθαι τὴν τοιαύτην ἐπερώτησιν καὶ πάντα ἐνεχθῆναι[1]) *εἰς τὴν* uerbis, *τότε ὁ* Numérios Negídios *διὰ τῆς* aquilianῆs[2]) *ἐκ τοῦ ἐναντίου ἐπερωτᾷ*[3]) Aûlon Agérion· »*ὅτι εἴ τί σοι κατὰ τὴν σήμερον ἡμέραν ὁ* Numérios »Negídios *διὰ τῆς* aquilianῆs *ἐπερωτήσεως ὡμο*»*λόγησα, τοῦτο ὅλον ἔχεις λαβών*«; *ἀποκρίνεται*[4]) Aûlos Agérios· »*ἔχω λαβὼν*[5]) *καὶ ληφθὲν ἀπηνεγκάμην*«. *καὶ ἰδοῦ διὰ μὲν τῶν προτέρων*[6]), *ῥημάτων συνέστη ἡ*[7]) uerbis, *ἡ διὰ τῆς* aquilianῆs *πᾶσαν αἰτίαν προϋπάρχουσαν* enouáteuse, *διὰ δὲ τῶν δευτέρων ἐτέχθη* acceptilatiωn *τὴν* aquilianὴν *ἐπερώτησιν διαλύουσα· αὕτη τοίνυν ἐστὶν ἡ παρὰ τῷ πλήθει λεγομένη* aquilianὴ *διάλυσις*. 3.a) *Καὶ* nouatiωn *εἴωθεν* 3. *ἀναιρεῖν τὰς ἀγωγάς. ἐὰν γὰρ τὸ παρά σου*[8]) *ἐποφειλόμενον ἐπερωτήσω ἐγὼ* Títion[9]), *παρενατεθέντος καινοῦ προσώπου, καινὴ τίκτεται*[10]) *ἐνοχὴ καὶ ἀναιρεῖται ἡ προτέρα εἰς τὴν δευτέρα μετατεθεῖσα. καὶ ἐπὶ τοσοῦτο ταῦτα οὕτως ἔχει, ὅτι εἰ καὶ*[11]) *συμβῇ τὴν ἐπερώτησιν ἄχρηστον εἶναι, ἀναιρεῖται μὲν ἡ προτέρα, ἡ δὲ δευτέρα ὑπεύθυνον οὐ ποιεῖ*[12]) *κατὰ*[13]) *νόμον τὸν*[14]) *ἐπερωτηθέντα· οἷον ἐὰν ὅπερ ἐχρεώστει μοι* Títios *ἐπερωτήσω* púpillon sine tutoris auctoritate, *ἐν τούτῳ*[15]) *τῷ θέματι ἀπόλλυταί μοι τὸ χρέος καὶ ὁ* Títios *ὑπὸ* nouatíonos *ἐλευθεροῦται καὶ ὁ* púpillos *οὐ γίνεταί μοι ἔνοχος, οἷα δίχα ἐπιτρόπου ἐπερωτηθείς. οὐκέτι τὸ αὐτό ἐστιν, ἐὰν οἰκέτην τις ἐπερωτήσῃ τὸ ἑτέρου χρέος. καὶ γὰρ τηνικαῦτα ἡ προτέρα ἐνοχὴ μένει ἀσάλευτος ἐπὶ σχήματος, ὡσανεὶ μηδεμιᾶς μετὰ ταῦτα γενομένης ἐπερωτήσεως. καὶ μήτις λεγέτω, ὅτι*[16]) *ὁ οἰκέτης φυσικῶς ἐπερωτηθεὶς ἔνοχος γίνεται, ἀμέλει καὶ οἱ*

---

1) *ἐνενεχθ*. Vi. R. *ἀνενεχθ*. L⁶. 2) *ἐπερωτήσεως* ins. V. 3) *—τησεν* L⁶. Vi. R. 4) *εκρίνατο* V. 5) uoc. *ἡ* omnisi ex lat. Inst. 6) *πρώτων* Vi. R. 7) d. L⁶. F. 8) *μοι* ins. L⁶. 9) *καὶ* ad. M. V. L². L⁶. 10) *ἡ* ins. F. 11) d. V. 12) *τὸν* ins. L². 13) *τὸν* del. ex M. V. L¹. L². 14) d. L². 15) *τοσούτῳ* M.: et antea *οἷον ἐχρ. μ. τ. ἐπρώτησα* V. R. 16) *καίτοι* om. cum L¹. L². V. Vi. R.

a) schol. Basil. II. 100. 598.

merius Negidius«. deinde hac stipulatione perfecta et omnibus in uerborum obligationem redactis, Numerius Negidius ex diuerso secundum aquilianam formulam Aulum Agerium interrogat: »quidquid tibi hodierna die ego Numerius Negidius per aquilianam stipulationem spopondi, id omne habesne acceptum?« respondet Aulus Agerius: »habeo acceptumque tuli«. et ecce per uerba priora uerborum obligatio constitit, haec uero per aquilianam stipulationem omnem praecedentem causam nouauit; per sequentia autem acceptilatio facta est, quae aquilianam stipulationem tollit. et haec est quae uulgo dicitur aquiliana solutio.

3. 3. Etiam nouatio obligationes tollere solet. si enim id quod a te debetur, ego a Titio dari stipulatus fuerim, noua interueniente persona, noua nascitur obligatio et prior tollitur in posteriorem translata. et adeo haec ita sunt, ut et si contingat stipulationem esse inutilem, prior quidem tollatur, altera uero iure promissorem non obliget. ueluti si id, quod mihi Titius debebat, a pupillo sine tutoris auctoritate fuero stipulatus; in hoc casu debitum mihi perit, nam et Titius nouatione liberatur et pupillus non obligatur mihi utpote qui tutore auctore non promiserit. non idem tamen iuris est, si quis a seruo alienum solui debitum fuerit stipulatus. nam tunc prior obligatio proinde intacta manet, ac si nulla postea facta fuerit stipulatio. et nemo dicat seruum ex stipulatione natura-

δοθέντες ὑπ' αὐτοῦ ἐγγυηταὶ καὶ[1]) *φύσει καὶ νόμῳ κατέχονται*[2]), *ἡ δὲ φυσικὴ ἐνοχὴ* nouationa *ποιεῖν δύναται. ἀλλὰ δεῖ πρὸς τοῦτο λέγειν ὅτι ποιεῖ* nouationa *οὐ μόνον τὸ τίκτεσθαι φυσικὴν ἐνοχήν, ἀλλὰ καὶ τὸ ὑπεῖναι πρόσωπον· ἀπρόσωπος*[3]) *δὲ παρὰ τοῖς νόμοις ὁ δοῦλος. καὶ ταῦτα μὲν ἡνίκα ἕτερον ὑπὲρ ἑτέρου ἐπερωτῶμεν*[4]), *εἰ δέ γε τὸν ἐποφείλοντά μοι ἐπερωτήσω, ζητῶμεν εἰ γίνεται* nouatiων. *καὶ ἵνα εἴπω σοι ἔξωθεν τελειότερον, εἰ μὲν ἔνοχος ὑπῆρχές μοι ἀπὸ τῆς* re *ἢ* litteris *ἢ* consensu *ἢ τῶν ἀγωγῶν τῶν ἀπὸ*[5]) quasi contráctu *ἀναφυομένων, ἀμάχως ἐγίνετο* nouatiων. *εἰ δὲ πάλαι ἔνοχος ἦσθα τῇ* uerbis *καὶ νῦν ἐπερωτῶ, τότε γίνεται* nouatiων, *ἡνίκα τι καινότερον παρὰ τὴν προτέραν ἐπερώτησιν ἐμφέρεται τῇ δευτέρᾳ ἐπερωτήσει· τυχὸν γὰρ*[6]) *ἢ αἵρεσις ἢ ἡμέρα ἢ ἐγγυητὴς*[7]) *προςτίθεται ἢ ὑφαιρεῖται ἢ καὶ ποσότης*[8]) *προςτίθεται*[a]). *εἰ γὰρ ὑφῃρέθη, ἐπειδὴ ἡ προτέρα ἐπερώτησις ἦν δέκα νομίσματα ἡ δὲ*[9]) *δευτέρα πέντε, οὐ γίνεται* nouatiων, *ἐπειδὴ τοῖς δέκα τὰ πέντε περιέχεται καὶ οὐδὲν ἔχει κοινότερον ἡ δευτέρα. τὸ δὲ εἰρημένον περὶ τῆς προςθήκης τῆς αἱρέσεως ὅτι ποιεῖ* nouationa *οὕτω δεῖ*[10]) *νοεῖ, ὥςτε τότε γίνεσθαι* nouatíona, *ἐν ᾧ ἐξῆλθεν ἡ αἵρεσις. εἰ γὰρ ἠτόνησε, μένει ἡ προτέρα ἐνοχή· ἄτοπον γάρ ἐστι λέγειν τὴν ἰσχυροτέραν ἐνοχήν, λέγω δὴ τὴν* púran, *ὑπὸ τῆς σαθρᾶς (σαθρὸν δὲ καλοῦμεν τὴν αἱρετικὴν ἕως οὗ τὰ τῆς αἱρέσεως ἤρτηται*[11]), *ἀναιρεῖσθαι.* 3a. *Ἀλλ'* 3a.
ἐπειδὴ παρὰ τοῖς παλαιοῖς ὡμολόγηται τότε γίνεσθαι nouationa *ἡνίκα* nouandi animo[12]) *εἰς τὴν δευτέραν παρεγίνοντο*[13]) *ἐπερώτησιν, τοῦτο δὲ ἦν ἐν ἀμφιβολίᾳ πότε*[14]) nouandi animo

---

1) d. V. 2) *ἐνέχ.* Vi. R. 3) *—ον* L^1. L^2. 4) M.: cet. *ἦν. εἰς ἕτερον πρόσωπον ποιούμεθα τὴν νοβατίονα, τουτέστιν ἡνίκα πρίμου χρεωστοῦντός* [*προχρ.* V. Vi. R.] *μοι ἦλθε* [*καὶ* L^6.] *σεκοῦνδος ὑπὲρ αὐτοῦ ἐπερωτώμενος.* 5) *τοῦ* ins. L^2. L^6.: *ἀπὸ τῶν* M. 6) d. L^6. 7) d. V. 8) *ἐγγυητὴς* V. 9) ad. ex. L^1. L^2. L^6. 10) *χρὴ* L^1. L^2. 11) pro glossemate haec habet F.: eadem uerba post u. *ἀναιρεῖσθαι* habent V. Vi. R. 12) *τουτ. ἀνανεοῦντος ψυχῇ* ad. Vi. R. 13) *—νετο* V. L^1. L^2. L^6. 14) *ὁπότε* L^6. F.

a) Gloss. taur. ad. h. l.

liter obligari, et ab ipso datos fideiussores natura et iure teneri et naturalem obligationem posse nouationem facere. respondendum enim est non sufficere ad nouationem efficiendam naturalem gigni obligationem, set oportere, ut sit aliqua persona; nullam autem in iure personam seruus habet. haec uero quotiens ab alio pro alio stipulamur; si uero a debitore meo stipuler, quaeramus an nouatio fiat. et ut tibi id euidentius proponam, fingo teneri te mihi ex re obligatione uel litteris uel consensu uel actionibus quasi ex contractu procedentibus: procul dubio fiet nouatio. sin autem iam uerbis antea tenebaris et nunc stipuler, tunc nouatio fiet, cum aliquid noui posteriori stipulatione inseratur, quod in anteriore non fuerit: forte enim condicio diesue uel fideiussor adiectus uel detractus est uel etiam quantitas addita est. si enim detracta est (forte enim anterior stipulatio decem aureorum erat, posterior quinque), non fit nouatio, quinque enim in decem continentur et nihil noui posterior stipulatio habet. quod de adiectione condicionis diximus, per eam scilicet nouationem fieri, ita intellegendum est, ut tunc nouatio fiat, cum condicio extiterit. nam si defecerit, prior obligatio durat; absurdum enim est dicere pleniorem obligationem, idest puram, ab infirmiore, h. e. condicionalis quamdiu condicio pendeat,
3a. tolli. 3a. Set cum inter ueteres constaret, tunc fieri nouationem, cum nouandi animo in secundam stipulationem iuissent, ambigeretur autem quando nouandi animo id contrahentes

ἐπὶ ταύτην ὁρῶσιν οἱ συναλλάττοντες, καί τινες[1]) προλήψεις ἕτεραι ὑπὸ ἑτέρων ἐν τούτοις εἰσήγοντο τοῖς θέμασι, διὰ τοῦτο πᾶσαν ἀμφιβολίαν ἀναιροῦσα γέγονε διάταξις τοῦ ἡμετέρου βασιλέως, ἥτις φανερῶς ὥρισε τότε μόνον γίνεσθαι nouationa, ἡνίκα τοῦτο αὐτὸ μεταξὺ τῶν συναλλαττόντων ἐξεφωνήθη[2]), ὅτι διὰ nouationa τῆς προτέρας ἐνοχῆς ἐπὶ τὴν παροῦσαν ἦλθον ἐπερώτησιν. τούτου δὲ μὴ γενομένου, καὶ ἡ προτέρα μένει ἐνοχὴ ἐπὶ σχήματος καὶ ἡ δευτέρα προςτίθεται καὶ ὁ réos λοιπὸν ἐξ ἑκατέρας αἰτίας ἔνοχος ἔσται μοι[3]), καθὰ διώρισται τῇ αὐτῇ θείᾳ διατάξει. ταῦτα δὲ ἔξεστι[4]) τελειότερον[5]) τὴν εἰρημένην ἀναγνόντα διάταξιν μαθεῖν. 4. Πρὸς 4.
τοῖς εἰρημένοις τὰ ἀπὸ consensu ἐγειρόμενα συναλλάγματα τῇ ἐναντίᾳ διαλύεται βουλήσει· εἰ γὰρ ἐγὼ πρὸς Tition περὶ πράσεως διελέχθην[6]) πράγματος, ὥςτε αὐτὸν ἀγοράσαι παρ' ἐμοῦ τόνδε τὸν ἀγρὸν ἑκατὸν νομισμάτων, εἶτα re nondum secuta, τουτέστι μήτε τιμήματος καταβληθέντος μήτε τοῦ ἀγροῦ traditenθέντος, ἀρέσῃ μεταξὺ τῶν δύο[7]), ὥςτε ἀναχωρῆσαι ἀπὸ τῆς ἀγορασίας καὶ τῆς πράσεως, ἀμοιβαδὸν ἐλευθεροῦνται, ὥςτε μήτε τὸν πράτην ἔχειν τὴν ex uendito κατὰ τοῦ ἀγοραστοῦ[8]), μήτε τὸν ἀγοραστὴν τὴν ex empto ἔχειν κατὰ τοῦ πράτου καὶ τοῦτό ἐστι τὸ λεγόμενον »re nondum secuta[9]) ὑπαναχωρεῖν«. τὸ αὐτό φαμεν καὶ ἐπὶ τῆς locati καὶ πάντων τῶν συναλλαγμάτων, ἅτινα ὑπὸ τὴν consensu ἐνοχὴν ἀνάγεται[10]).

Ἐπληρώθη σὺν Θεῷ τὸ γ' βιβλίον τῶν Institútων.
feliciter[11]).

---

1) τὲ ins. omn. praet. L6. et M., qui hab. αἱ. 2) συνεφ. L6. Vi. R. 3) ἔστ. μ. ἐν V. 4) ἔστι V. 5) —ρα V. 6) M. L6.: cet. διελ. π. πρ. 7) u. μερῶν d. M. 8) τὴν ex u. h. l. omn. praeter M. L6. Vi. R. 9) τουτέστι πράγματος μὴ πληρωθέντος ad. Vi. R. 10) In P. [= L6.] haec adduntur: τὰ μεταξὺ ἑτέρων γινόμενα ἑτέρους οὐ καταβλάπτουσιν οὐδὲ ὠφελοῦσιν. 11) ita M. et F. qui tamen l. ἡ γ̄ ἰνστιτουτίων Θεοφίλου. V.: τέλος τοῦ γ̄ βιβλίου Θεοδώρου ἀντικίνσωρος. L18 τέλος τῆς γ̄ Ἰνστ. Pi. ἐπλ. σὺν Θεῷ τὸ γ̄ βιβλ. τῶν ἰνστιτούτων. Vi. R. τῆς γ̄ Ἰνστ. τέλος.

facerent, et quaedam praesumptiones aliae ab aliis in his casibus introducerentur; ideo omnem tollens controuersiam processit principis nostri constitutio, quae aperte definiit, tunc solum fieri nouationem, quotiens hoc ipsum inter contrahentes expressum fuerit, quod propter nouationem prioris obligationis ad praesentem conuenerint stipulationem. alioquin et pristina obligatio manet et secunda accedit et reus deinceps ex utraque causa mihi tenebitur, sicuti definitur in eadem sacratissima constitutione. haec uero licet apertius nosse praefatam legenti
4. constitutionem. 4. Hoc amplius obligationes, quae consensu contrahuntur, contraria dissoluuntur uoluntate. si enim ego cum Titio de rei cuiusdam uenditione tractauerim, ut ipse hunc fundum a me emptum haberet centum aureis; deinde, re nondum secuta, id est neque pretio soluto neque fundo tradito, placuerit inter contrahentes, ut discederetur ab emptione et uenditione, inuicem liberantur, ut neque uenditor ex uendito cum emptore agere possit, neque emptor ex empto cum uenditore. et id est quod dicitur, re nondum secuta, discessio. idem dicimus et de locatione et de ceteris contractibus, qui ex consensu descendunt.

Explicit cum Deo tertius liber Institutionum feliciter.

᾿Αρχὴ σὺν Θεῷ[1]) τῆς δ̄ Institutíonos.

De obligationibus quae ex delicto nascuntur[2]). Titulus 1.

Ἐν τῷ προλαβόντι βιβλίῳ διεξήλθομεν περὶ τῶν ἐνοχῶν τε καὶ ἀγωγῶν, αἵτινες ἀπὸ contráctu *τίκτονται· ἀκόλουθόν ἐστιν εἰπεῖν περὶ τῶν ἀπὸ ἁμαρτήματος ἐγειρομένων ἐνοχῶν. καὶ γὰρ ἀρχόμενοι τοῦ περὶ*[3]) *ἐνοχῶν λόγου εἰρήκαμεν ἢ ἀπὸ συναλλαγμάτων ἢ ἀπὸ ἁμαρτημάτων ταύτας ἐγείρεσθαι. ἀλλ' αἱ μὲν ἀπὸ*[4]) contráctu *φυόμεναι ἐνοχαὶ εἰς τέσσαρα διῄρηνται γένη* re uerbis litteris consensu, *αὗται δὲ εἰς ἓν περιΐστανται γένος. ὥςπερ γὰρ ἐκεῖ ἄρχει μὲν τὸ* cóntracton, *τίκτει δὲ τέσσαρας ἐνοχὰς, οὕτω κἀνταῦθα ἄρχει μὲν τὸ* délicton, *ἡ δὲ* re ex *αὐτοῦ φύεται ἐνοχή. τέσσαρα δὲ ἐντεῦθεν κατάγεται ἁμαρτήματα, οἷον κλοπὴ ἁρπαγὴ ζημία ὕβρις.* 1. ***Κλοπὴ** δέ* 1. *ἐστιν ἀλλοτρίου πράγματος κακίστη ψηλάφησις ἀδικοῦσα τὸν τὴν κλοπὴν ὑποστάντα ἢ περὶ αὐτὸ τὸ πρᾶγμα ἢ περὶ*[5]) *χρῆσιν αὐτοῦ ἢ περὶ νομήν*[a]). *περὶ αὐτὸ τὸ πρᾶγμα μὲν, οἷον ἐὰν ὑφέλωμαι τὸν σὸν οἰκέτην· περὶ χρῆσιν δὲ*[6]), *οἷον ἐὰν τὸ δοθέν μοι ἐπὶ τῷ*[7]) *χρήσασθαι πρὸς μίαν ἡμέραν περαιτέρω κρατήσω· περὶ νομὴν δὲ, ὅτι τὸ δοθὲν ἐπὶ τῷ νέμεσθαι ὡς ἐνέχυρον ἢ ὡς* depósiton *νέμομαι ὡς δεσπότης.*

---

1) d. V. L[1]. L[2].: hab. M. Pi. L[18]. F. 2) *Περὶ ἐνοχῶν τῶν ἀπὸ ἁμαρτίας γενομένων ἤτοι* [d. L[1]. *ἢ* V.] *ἐγειρομένων* [*φυομένων* L[6]. Vi. R]. 3) *τῶν* d. cum M. Vi. R. 4) *τοῦ* ins. L[6]. 5) *τὴν* ins. L[6]. Vi. R. 6) d. Vi. F[1]. 7) *περὶ τὸ* M. Pi. L[6].

a) schol. Bas. V, 451.

Incipit cum Deo Institutio IVa.

De obligationibus quae ex delicto nascuntur. Titulus 1.

Cum expositum sit superiore libro de obligationibus et actionibus, quae ex contractu nascuntur, sequitur ut de obligationibus, quae ex maleficio oriuntur, loquamur. diximus enim, cum de obligationibus tractare instituimus, easdem uel ex contractibus uel ex delictis oriri. set quae ex contractu nascuntur obligationes in quattuor genera diuiduntur, h. e. re uerbis litteris consensu; hae uero unius generis sunt. 1. sicut enim in illis contractus praecedit et quattuor parit obligationes, ita in his delictum praecedit et obligatio ex re inde nascitur. quattuor autem inde maleficia descendunt, furtum rapina damnum iniuria. 1. Furtum est alienae rei contrectatio pessima, quae eum qui furtum patitur uel circa ipsam rem laedit uel circa usum eius uel possessionem. circa ipsam rem, ueluti cum hominem tuum subripiam, circa usum, ueluti cum id quod mihi in unum diem utendum datum est diutius retineam; circa possessionem demum, cum id quod tanquam pignus retinendum datum est, uel tanquam depositum, quasi dominus possideam. furti autem male-

τοῦτο δὲ τὸ τῆς κλοπῆς ἁμάρτημα οὐ μόνον ὁ[1]) *πολιτικὸς,*
ἀλλ' οὐδὲ ὁ[1]) *φυσικὸς προσίεται νόμος.* 2. *Λέγεται δὲ αὕτη* 2.
ἡ κλοπὴ furtum a 'furuo' idest[2]) nigro[3]), *ἐπειδὴ λάθρα καὶ*
ἀμαυρῶς[4]) *καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐν νυκτὶ γίνεται· ἢ*[5]) a
'fraude'[6])· *πᾶς γὰρ κλέπτης ἀπατεών·* uel a 'ferendo' id
est 'auferendo'[7]), *ἢ ἀπὸ ἑλληνικῆς φωνῆς ἐκ τοῦ 'φώρ'·*
'φῶρας' γὰρ ἕλληνες τοὺς κλέπτας ὀνομάζουσιν ἀπὸ τοῦ
'φέρειν'. φέρειν δὲ λέγομεν τὸ λαμβάνειν τὰ ἀλλότρια.
3. *Δύο δὲ τῶν κλοπῶν εἶναι γένη πρόδηλόν ἐστιν· ἡ γὰρ* 3.
κλοπὴ ἢ φανερά ἐστιν ἢ ἀφανερός[8]). *τὸ γὰρ* cóncepton *καὶ*
τὸ oblàton *εἴδη μᾶλλόν εἰσιν ἀγωγῶν ἀπὸ κλοπῆς ἐγειρομένων*
ἤτοι τῇ κλοπῇ συνηνωμένων[9]), *ἤπερ γένη κλοπῶν*[10]), *ὡς*
προϊόντες μαθησόμεθα. φανερὸς κλέπτης ἐστὶν, ὃν ἐπαυ-
τοφώρῳ λαμβάνεσθαι λέγουσιν οἱ[11]) *ἕλληνες, οὐ μόνον οὗτος,*
ὃς ἐν αὐτῷ τῷ πράγματι καταλαμβάνεται, ἀλλ' ἔτι μὴν καὶ
οὗτος, ὃς ἐν τούτῳ τῷ τόπῳ συνέχεται, ἐν ᾧ γίνεται ἡ κλοπή.
οἷον, ἐν οἴκῳ τις κλοπὴν εἰργάσατο, μήπω δὲ τοῦ πυλῶνος
'κβὰς συνεσχέθη[12]). *εἰ δὲ καὶ ἐν ἐλαιῶνί τις ἐλαιῶν ἢ ἀμ-*
πελῶνι σταφυλῶν κλοπὴν ποιήσῃ, ἐφ' ὅσον ἐν τῷ ἐλαιῶνι ἢ
ἐν τῷ ἀμπελῶνι συνέχεται[13]), *φανερὸς κλέπτης ἐστίν. ἕτεροι*
δὲ περαιτέρω τὴν φανερὰν ἐκτείνουσι κλοπὴν λέγοντες μέχρι
τοσούτου φανερόν τινα κλέπτην νομίζεσθαι, ἕως ὅτου τὸ[14])
κλαπὲν πρᾶγμα κατέχων ἢ ὁραθῇ ἢ συσχεθῇ ἐν δημοσίῳ ἢ
καὶ[15]) *ἰδιωτικῷ τόπῳ, εἴτε ὑπὸ τοῦ δεσπότου, εἴτε ὑφ' ἑτέρου*[16])
μέχρις οὗ ἐκεῖσε παραγένηται, ἐν ᾧ[17]) *ἐνεγκεῖν καὶ ἀποθέσθαι*
ὥρισε τοῦτο τὸ πρᾶγμα. ὑπόθου γὰρ, ἵνα εὐαπόδεικτον τοῦτό

---

1) d. L². L⁶. 2) *δὲ ἐστι* L¹. L². 3) *τουτέστιν ἀπὸ* [*ζόφου ἀπὸ* L⁶.] *τοῦ* [d. L⁶.] *μέλανος* ad. libri. ed. 4) *ἀμυδρῶς* L⁶. 5) uel L⁶. 6) *ἐκ* [*τουτέστιν ἀπὸ* L⁶.] *τῆς* [d. L⁶.] *ἀπάτης* ad. libri. ed. 7) *τουτέστιν ἀπὸ τοῦ* [*ἀφαιρεῖσθαι ἤγουν τοῦ* L⁶. *ἀπαιρεῖν ἤγ. τοῦ* Vi. R.] *σφετερίζεσθαι* ad. libri. ed. 8) M. L¹. L².: *ἀφανής* V. F.: *οὐ φανερά* L⁶. Vi. R. 9) *συνημμ.* L⁶. 10) *—ῆς* Vi. R. 11) ad. Vi. R. 12) ad. ex L⁶. Vi. R. 13) *κατεσχέθη* Vi. R. 14) *κατέχ.* Vi. R. 15) *οὐ τοῦτο* M. 16) d. Vi. R. 17) *εἴτε ὑπὸ ἄλλου τινὸς* Vi. R.

ficium non tantum iure ciuili, set iure quoque naturali prohi-
2. bitum est. 2. Dicitur autem furtum »a furuo idest nigro«,
quod clam et obscure fit et plerumque noctu: uel »a fraude«,
omnis enim fur fraudem admittit: uel a »ferendo idest
auferendo«, idest subripere atque adimere; uel a graeco
sermone, scilicet a uerbo »φώρ«: graeci enim φῶρας fures
appellant ἀπὸ τοῦ φέρειν· »φέρειν« autem significat res
3. alienas auferre[1]. 3. Furtorum autem esse duo genera non
ambigitur; aut enim manifestum est aut nec manifestum.
nam conceptum et oblatum species sunt potius actionum,
quae ex furto nascuntur, seu furto cohaerent, quam genera
furtorum, sicut inferius discemus. manifestus fur est, quem
graeci ἐπ' αὐτοφώρῳ deprehensum dicunt, nec solum hic est,
qui in ipso furto deprehenditur, set ille etiam, qui eo loco
deprehenditur, quo furtum fit. ut ecce in quadam domo furtum
aliquis admisit, et nondum ianuam egressus est deprehensus;
uel in olineto quidam oliuarum aut in uineto uuarum furtum
fecit, quamdiu in ipso olineto aut uineto deprehensus fuerit,
manifestus fur est. immo ulterius quidam furtum manifestum
extendunt, dicentes eo usque manifestum furem quendam
intellegi, donec furtiuam rem tenens uisus uel deprehensus
fuerit siue in publico siue in priuato loco uel a domino uel
ab alio, antequam eo perueniret, quo perferre ac deponere

[1]) Quod et uerum est. Cf. Curtius 'Grundzüge' p. 301. 'Studien zur gr. u. lat. Gram.' III 199.

σοι γένηται, ὅτι πρὶν κλέψῃ[1]) τισὶ[2]) τῶν οἰκείων ἐθάρρησε φίλων, ὅτι »κλέψας τόδε τὸ πρᾶγμα βούλομαι ἀποθέσθαι ἐν τῷ οἴκῳ, λόγον χάριν[3]), Primu«. ἐὰν μετὰ τὸ ὑφελέσθαι εὑρεθῇ τοῦτο κατέχων ἢ ὀφθῇ ἐν οἱῳδήποτε τόπῳ[4]) πρὶν ἀπαγάγῃ[5]) εἰς τὸν οἶκον Primu καὶ ἀπόθηται[6]), φανερὸς κλέπτης ἐστίν. εἰ δὲ μετὰ τὸ ἀπαγαγεῖν καὶ ἀποθέσθαι εἰς τὸν οἶκον Primu συλληφθῇ τοῦτο[7]) κατέχων, οὐκ ἂν κριθείη φανερὸς κλέπτης. ἔστιν ἐκ τῶν εἰρημένων εὑρεῖν ἀφάνερος κλέπτης τίς[8]) ἐστιν· νοεῖν γὰρ ἔξεστιν ὡς ὅπερ οὐκ ἔστι manífeston, ἀμαχῶς τοῦτο nec manífeston ἐστίν. 4. Cónceptum 4. fûrton λέγεται, ἡνίκα παρά τινι μαρτύρων παρόντων τὸ κλαπέν μοι πρᾶγμα ζητηθὲν εὑρεθῇ. κατὰ τούτου γὰρ, παρ' ᾧ εὑρεθῇ, ἰδιάζουσα ἀγωγὴ ὥρισται ἡ concepti, οὐ διαφερομένων ἡμῶν εἴτε κλέπτης ἐστὶν οὗτος, παρ' ᾧ εὑρεθῇ, εἴτε οὐκ ἔστι κλέπτης, ἔλαβε δὲ παρ' ἐμοῦ. obláton fûrton λέγεται, ὁπότε κλοπιμαῖον πρᾶγμα ὑπό τινός μοι προσενεχθῇ ἤτοι δοθῇ καὶ τοῦτο παρ' ἐμοὶ ζητηθὲν τῶν[9]) μαρτύρων παρόντων εὑρεθῇ. ἀλλὰ τότε ἡνίκα τοιαύτῃ διανοίᾳ δέδωκέ τις ἐμοὶ τοῦτο τὸ κλοπιμαῖον πρᾶγμα, ὥςτε παρ' ἐμοὶ μᾶλλον ἢ παρ' ἐκείνῳ τῷ δόντι[10]) εὑρεθῆναι τοῦτο καὶ τὴν ἐντεῦθεν κατάγνωσιν ἤτοι ἀσχημοσύνην ἐμοὶ μᾶλλον περιτεθῆναι ἤπερ ἐκείνῳ. ἐνταῦθα γὰρ[11]) μὲν κατέχομαι τῇ concepti, κατὰ δὲ τοῦ δόντος ἔχω τὴν oblati, εἰ καὶ τὰ μάλιστα κλέπτης οὐκ[12]) ἔστιν ὁ τοῦτο ποιήσας. οὐκοῦν εἰ μὴ[13]) ἐπὶ τῷ[14]) τοιούτῳ σκόπῳ[15]) δέδωκέ μοι τὸ πρᾶγμα, κατασχεθήσομαι μὲν[16]) τῇ concepti, οὐχ ἕξω δὲ κατ' αὐτοῦ τὴν oblati. ἔστι[17]) καὶ prohibiti[18]) ἀγωγὴ ὁριζομένου[19]) κατ' ἐκείνου τοῦ κωλύσαντος τὸν βουληθέντα μαρτύρων παρόν-

1) τὶς ins. Vi. R. 2) τινὶ L^6. 3) χ. λ. L^6. 4) ἢ ὀφθ. ἐν οἱ. τ. d. L^6. 5) ἀπάγῃ L^6. 6) ἢ καὶ ὀφθῇ h. l. L^6. 7) uoc. μὴ del. cum M. 8) τίς ὁ μὴ φαν. κλ. L^6. Vi. R. 9) d. L^1. L^2. L^6. 10) διδόντι L^6. 11) ἐγὼ [τῷ L^2. L^6.] d. cum M. 12) μὴ L^1. d. L^2. L^6. 13) d. L^2. 14) ϑ L^1. Vi. R. 15) οὐκ ἐπὶ τῷ τοι. δὲ σκ. L^6. 16) ad. ex. M. L^6.: iam cj. R. 17) δὲ ins. Vi. F^1. R. 18) furti ad. Vi. R. 19) M.: cet. —νη.

rem destinasset. finge enim, ut rem clarius intellegas, quendam antequam furaretur familiaribus suis quibusdam fassum esse: rem illam, quam subrepturus sum, in aedibus Primi, uerbi gratia, deponere uolo. si post furtum admissum deprehensus sit rem tenens uel conspectus sit quocumque loco antequam in aedes Primi eam perferret, ibique deponeret, manifestus erit fur. sin autem, postquam in aedes Primi rem pertulerit ibique deposuerit, deprehensus sit eam non habens, non uideretur manifestus fur esse. ex his, quae diximus, intellegitur quis manifestus fur sit; cogitare enim licet, furtum,
4. quod manifestum non est, *nec manifestum* esse. 4. *Conceptum* furtum dicitur, cum apud aliquem testibus praesentibus res mea furtiua quaesita atque inuenta est, nam in eum, apud quem inuenta est, propria actio constituta est, quae dicitur '*concepti*'; neque interest utrum is, apud quem res inuenta est, fur sit an fur non sit, set a me rem acceperit. *oblatum* furtum dicitur, cum res furtiua ab aliquo mihi oblata sit, eaque apud me testibus praesentibus quaesita atque concepta sit, utique uero cum ea mente quis hanc furtiuam rem mihi optulerit, ut apud me potius quam apud eum qui dederit conciperetur, et mihi potius condemnationis ignominia quam sibi haereret. in hoc enim casu ego quidem concepti actione teneor, in eum uero, qui rem optulerit, actio oblati mihi competit, quamuis fur non sit, qui id fecerit. igitur si quis non ea mente rem mihi optulerit, tenebor quidem concepti actione, oblati uero actionem aduersus eum non habebo. est etiam *prohibiti* furti actio aduersus eum constituta, qui

των[1]) ζητῆσαι τὸ κλοπιμαῖον πρᾶγμα. ἐφεῦρε πρὸς ταῦτα
καὶ ὁ praetor τὴν furti non exhibiti ἁρμόζουσαν κατ' ἐκείνου,
ὅστις τὸ ζητηθὲν καὶ εὑρεθὲν παρ' αὐτῷ κλοπιμαῖον πρᾶγμα
οὐ συνεχώρησεν ὑπὸ τοῦ εὑρόντος ληφθῆναι. ταύτας δὲ τὰς
ἀγωγάς, οἷον τὴν concepti oblati prohibiti[2]) non exhibiti οὐ
δύναται εἰπεῖν γένη εἶναι κλοπῶν, ἀλλ' εἴδη μετὰ τὸ συστῆναι
τὴν κλοπὴν ἐπιγενόμενα. ἀμέλει κατὰ τοῦ μὴ κλέψαντος
ἁρμόζουσιν αἱ τοιαῦται ἀγωγαί· οὕτως οὐ[3]) δυνατὸν σήμερον[4])
πρωτοτύπους ἀγωγὰς ταύτας ὁρίσασθαι[5]). ἃς δὲ εἰρήκαμεν
ἀγωγὰς εἴδεσι κλοπῶν ἐφαρμόζεσθαι, ταύτας οὐ δυνατὸν
σήμερον ἰδεῖν[6]) ἐν πολιτείᾳ καὶ ἐν χρήσει. ὁπότε γὰρ ἡ του
κλαπέντος πράγματος ζήτησις κατὰ τὴν παλαιὰν οὐ πρόεισι
παραφυλακὴν[7]), τουτέστι μαρτύρων παρόντων, δικαίως ἐξ
ἀκολουθίας καὶ αἱ προειρημέναι τῆς κοινῆς ἐξελήλανται χρήσεως
ἀγωγαί. τοῦτο γὰρ τῶν ὁμολογουμένων[8]) ἐστὶν, ὅτι πᾶς εἰδὼς
κλοπιμαῖον εἶναι πρᾶγμα, ὑποδεξάμενός τε τοῦτο καὶ κρύπτων
τῇ nec manifesti furti κατέχεται. 5. Ἡ δὲ ποινὴ τῆς μὲν 5.
manifesti furti εἰς τὸ τετραπλοῦν ἀνάγεται, τῆς δὲ[9]) nec mani-
festi εἰς τὸ διπλοῦν, εἴτε ἐλεύθερος εἴτε δοῦλος εἴη ὁ[10])
κεκλοφώς[11]). 6. Furtiuon δέ ἐστιν οὐ μόνον τὸ νύκτωρ ἢ μεθ' 6.
ἡμέραν λάθρα λαμβανόμενον[12]), ἀλλὰ πᾶν πρᾶγμα κινητὸν
ἀλλότριον παρὰ γνώμην δεσπότου κακῇ διαθέσει ψηλαφώμενον.
διὸ εἴτε ὁ creditor τὸ ἐνέχυρον[13]), εἴτε οὗτος, παρ' ᾧ παρα-
κατετέθη[14]) τὸ πρᾶγμα, τῷ ἐνεχυριασθέντι ἢ παρατεθέντι
πράγματι κέχρηται, εἴτε ὁ εἰς χρῆσιν λαβὼν ἀλλότριον πρᾶγμα,
εἰς ἑτέραν χρῆσιν μεταθήσει τοῦτο ἤπερ εἰς ἣν ἔλαβε, κλοπὴν
ἐπὶ τούτῳ ἁμαρτάνει. οἷον ἔλαβεν[15]) ἄργυρόν τις παρ' ἐμοῦ
ὡς δῆθεν φίλους ἑστιάσων, καὶ τοῦτον μεθ' ἑαυτοῦ ἀπήγαγεν
ἐπὶ ξένης οὐ βουλόμενος ἀποστερῆσαι τοῦτον[16])· οὐδὲν ἧττον

1) M. L1. L2. L6.: cet. μ. π. τὸν β. 2) furti ins. Vi. R. 3) d. L2. 4) ταύτας h. l. Vi. F. R. 5) —ζεσθαι L6. 6) εἰπεῖν L6. 7) φυλακὴν F. 8) ὡμολογημ. L6. 9) ad. ex L1. Vi. R. 10) ad. ex L1. L2. L6. Vi. R. 11) κλέπτης L6. 12) M.: cet. λαμβ. λαθρ. 13) d. L1. L2. F. 14) κατ. Vi. R. 15) M.: cet. ἐστὶν [d. Vi. R]. ἄργ. ἐχρήσατο. 16) τούτ. ἀπ. L6.

furtiuam rem quaerere testibus praesentibus uolentem prohibuerit. praeterea inuenit praetor furti non exhibiti actionem aduersus eum qui furtiuam rem apud se quaesitam et conceptam non passus sit ab eo qui conceperit auferri. has uero actiones, idest concepti, oblati, prohibiti, non exhibiti non recte dicuntur genera esse furtorum, cum species sint actionum, quae, furto iam admisso, locum habent: itaque et aduersus eum, qui ipse fur non sit, interdum competunt. non licet igitur hodie eas actiones principales appellare. eiusmodi uero actiones, quas diximus speciebus furtorum adhaerere, non possunt hodie in ciuitate et usu conspici. cum enim furtiuae rei requisitio secundum ueterem obseruationem non procedat, idest testibus praesentibus, merito ex consequentia etiam praefatae actiones ab usu communi recesserunt. explorati enim iuris est quicumque sciens rem furtiuam esse eam susceperit et celauerit, eum furti nec manifesti esse obnoxium.
5. 5. Poena manifesti furti quadrupli est, nec manifesti dupli;
6. siue liber, siue seruus fur sit. 6. Furtiuum non est solum, quod noctu aut interdiu clam subripitur, set quaecumque res mobilis aliena inuito domino fraudulenter contrectata. et ideo siue creditor, siue is, apud quem res commendata est, pignerata aut deposita re utatur, siue is, qui rem utendam accepit in alium usum eam transferat, quam cuius gratia accepit, furtum in ea committit, ueluti si quis a me argentum utendum acceperit quasi amicos ad cenam inuitaturus, ed id peregre secum tulerit, non ea tamen mente ut subriperet, tenebitur

κατέχεται τῇ furti *ἀγωγῇ, ἐπειδὴ περαιτέρω ἤπερ ἔλαβεν ἐχρήσατο. εἰ δὲ καί τις ἵππον μετεωρίας*[1]) *χάριν αὐτῷ χρησθέντα ἐπὶ τὸ τοῦτον ἀπαγαγεῖν μέχρι φανεροῦ διαστήματος, ἀπήγαγε περαιτέρω, κλοπὴν ἁμαρτάνει. ὅπερ ἔγραφον*[2]) *οἱ παλαιοὶ περὶ ἐκείνου ὅςτις εἰς παράταξιν τὸν ἵππον τὸν χρησθέντα αὐτῷ ἀπήγαγεν*[a]). 7. *Ἀρέσκει δὲ τοῦτο καθόλου,* 7. *πάντας ὅσοι τοῖς χρησθεῖσι πράγμασιν ἑτέρως ἤπερ ἔλαβον κέχρηνται κλοπὴν ἁμαρτάνειν καὶ τῇ* furti *κατέχεσθαι εἴγε ὑποπτεύουσιν ἄκοντος τοῦ δεσπότου τοῦτο γίνεσθαι παρ' αὐτῶν καὶ*[3]) *μαθόντα τὸν δεσπότην οὐκ ἐπιτρέψειν*[4]) *τοῦτο. εἰ γὰρ ἀρέσκεσθαι καὶ μὴ ἀγανακτεῖν ἐπὶ τῷ γενομένῳ τὸν δεσπότην ἐνόμιζον, ἐκτὸς εἶναι τούτους τοῦ τῆς κλοπῆς ἁμαρτήματος ὁριζόμεθα, ἀρίστῳ δηλαδὴ λογισμῷ,* furtum enim sine affectu furandi non[5]) committitur[6]). 8. ***Εἰ δὲ καὶ ἄκοντος*** 8. ***τοῦ δεσπότου ταῦτα ποιεῖν ἑαυτοὺς ὑπόπτευον, μαθὼν δὲ ὁ δεσπότης οὐκ ἠγανάκτησεν ἐπὶ*[7]) *τῷ γεγονότι, οὐδὲ οὕτω χώρα γενήσεται τῷ τῆς κλοπῆς λόγῳ. ὥςτε οὖν ἵνα ἡ* furti[8]) *ἁρμόσῃ δεῖ τὰ δύο συνδραμεῖν, κἀμὲ παρὰ γνώμην κεχρῆσθαι δεσπότου*[9]) *ἰδόντα ὡς ἀγανακτήσει ἐπὶ τῷ πραττομένῳ ὁ τοῦ πράγματος κύριος κἀκεῖνον ὀργισθῆναι μαθόντα· ἓν δὲ τούτων ἐλλεῖψαν οὐκ ἐᾷ τεχθῆναι τὴν* furti. *ἀμέλει ἐντεῦθεν τοιοῦτόν τι ἐζητήθη. ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. ἐάν τις τὸν ἐμὸν ὑπονοθεύσῃ δοῦλον καὶ χείρονας αὐτοῦ τοὺς τρόπους ἀποτελέσῃ, κατέχεταί μοι τῇ*[10]) *ἀγωγῇ τῇ λεγομένῃ* serui conrupti[b]), *ἥτις εἰς*[11]) *τὸ διπλάσιον τῆς ἐπὶ τῇ ἐλαττώσει τοῦ οἰκέτου διατιμήσεως ἁρμόζει ἤ, ἡνίκα ἀπώλετο, ἐπὶ τῷ διπλῷ τοῦ*

---

1) M.: Par[4] *μετεώρας χ. αἰώρας χάριν* L^2. L^6. [*ἑώρ.*]: *ορου χ.* L^1.: *δι' ἑώρας* F.: schol. L^6.: *ἑώρας ἀντὶ* [*τῆς* ad. F.] *μεταβολῆς τέρψεως· εὕρηται ἡ λέξις παρὰ τῷ* [d. F.] *πλουτάρχῳ* [*·ἑώρας χάριν ὁποῖά εἰσι τὰ λεγόμενα ἱπποδρόμια* ad. L^6]. 2) *—ψαν* Vi. R. 3) d. F. 4) *—πειν* L^6. 5) d. L^1.: antea pro *τούτους τοῦ* l. *τοῦτο* Vi. R. 6) *ἄνευ γὰρ πονηρᾶς διαθέσεως οὐχ ἁμαρτάνεται κλοπή.* ad. libri. ed. 7) d. Vi. 8) ad. ex. ej. R. 9) *δεσπ. κεχ.* L^6. 10) d. L^1. L^2. L^6. Vi. R. 11) *ἐπὶ* L^6.

a) Proch. 44, 5. b) Cfr. ed. ap. Ulp. [D. 11, 8, 1 pr.].

furti actione, ulterius enim, quam ei fuerat concessum, re
usus est. si autem quis equum gestandi gratia sibi commo-
datum, ut cum eo aliquo perueniret, longius duxerit, furtum
committit. idque ueteres scripserunt de eo, qui in aciem
7. equum sibi commodatum perduxisset. 7. Generaliter autem
placuit omnes, qui rebus commodatis aliter uterentur, quam
utendas acceperint, ita furtum committere et furti actione
teneri, si se intellegant inuito domino id facere, dominumque
si intellexisset non permissurum. quod si dominum permissurum
neque id aegre laturum crediderint, eos non non esse furti
reos definimus: optima sane ratione, »furtum enim
8. sine affectu furandi non committitur«. 8. Set et si
inuito domino id se facere putent, dominus autem certior
factus non aegre rem ferat, furtum admitti non dicitur. itaque
ut furti actio competat, duo concurrere debent; ut ego nempe
inuito domino rem contrectem, sciens eum id aegre esse
laturum, et ille certior factus rem in malam partem accipiat.
quorum si alterum deficiat, actio furti non competet. unde ali-
quid eiusmodi quaesitum est: set antea haec tibi perspecta
habeas. si quis meum corruperit seruum eiusque mores
deteriores fecerit, tenetur actione, quam uocant »serui cor-
rupti«, per quam quanti eius serui pretium minutum est

τιμήματος. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. Titios *διελέχθη τῷ ἐμῷ οἰκέτῃ τοῦτον ὑποτιθεύων καὶ φυγὴν ὑποτιθέμενος αὐτῷ, προςθεὶς*[1]) *ἅμα καὶ τοῦτο, ὥςτε αὐτὸν ὑφελέσθαι τι τῶν ἐμῶν πραγμάτων. ὁ οἰκέτης γνώριμόν μοι τοῦτο κατέστησεν· οὐ πεισθεὶς ἐγὼ τούτῳ τῷ οἰκέτῃ, βουλόμενος δὲ τὸν* Tition *ἐν αὐτῷ καταλαβεῖν*[2]) *τῷ ἁμαρτήματι ἐπέτρεπον τῷ οἰκέτῃ ταῦτα πράττειν*[3]). *ὁ δὲ λαβών τι τῶν παρ' ἐμοὶ ὄντων σκευῶν ἀπῄει πρὸς* Tition. *ἑπόμην ἐγὼ λάθρα γνῶναι βουλόμενος εἰ ἀληθῆ τὰ παρὰ τοῦ οἰκέτου λεχθέντα*[4]). *γενόμενος ὁ οἰκέτης κατὰ τὸν συντεθέντα τόπον παρ' αὐτοῦ καὶ* Titiu[5]) *ἐπιδέδωκε*[6]) Titiῳ *τὸ σκεῦος· εὗρον διὰ τῶν γενομένων τὸν οἰκέτην μὴ ψευδόμενον. ζήτησίς ἐστι ποία μοι κατὰ* Titiu *δίδοται προφάσει τῶν γενομένων ἀγωγή. καὶ τέως οὐ δυνατὸν εἰπεῖν ἁρμόζειν τὴν* furti[a]). *εἰ καὶ τὰ μάλιστα γὰρ κακῇ διαθέσει λαβὼν ἐψηλάφα τὸ σκεῦος ὁ* Titios, *ἀλλ' οὐ παρὰ γνώμην δεσπότου συνέβαινε τοῦτο. ἀλλ' ἡ* serui conrupti; *ἀλλ' οὐδὲ ταύτην ἐγχωρεῖ παρέχεσθαι· ὁ γὰρ οἰκέτης οὐ χείρων τοὺς τρόπους, μᾶλλον δὲ καὶ πάλαι διαλανθάνων*[7]) *εὐνοῶν τῷ δεσπότῃ νῦν γέγονε φανερός. καὶ συμβαίνει κατὰ ταὐτὸν*[8]) *πολλὰ τὸν*[9]) Tition *πταίσαντα μηδεμιᾷ κατέχεσθαι ἀγωγῇ.* [*τινὲς*[b]) *δὲ τῶν νομικῶν ἐδίδοσαν ἐντεῦθεν*[10]) *τὴν* furti.] *ἀλλ' ἐπειδὴ ζητήσεις ὑπῆρχον τῶν νομικῶν, τῶν μὲν πᾶσαν ἀρνουμένων ἀγωγὴν, τῶν δὲ παρεχόντων τὴν* furti, *ἐπὶ τὸν ἡμέτερον ταῦτα ἀνηνέχθη βασιλέα, καὶ γέγονε παρ' αὐτοῦ διάταξις, ἥτις ἕνεκα τῆς τοσαύτης*[11]) *κακουργίας τιμωρουμένη*[12]) *τὸν* Tition *οὐ μόνον τῇ* furti *ἀλλὰ καὶ τῇ* serui conrupti[13]) *ἔνοχον αὐτὸν ἐκέλευσεν εἶναι.*[14]) *εἰ*

1) *—τιθεὶς* F2. 2) *—βαλεῖν* L2. 3) *τῷ οἰκ.* h. l. Vi. F. R. 4) *μοι* ad. L6. 5) d. L1. L2. 6) *δέδ.* Vi. R. 7) *λανθ.* L6. 8) *αὐτὸν* M. 9) d. Vi. R. 10) *ἐνταῦθα* L1. F2. 11) *τοι.* Vi. R. 12) *—ης* M. 13) ita scr. M. 14) *εἶν. ἐκ.* Vi. F. R.

a) cfr. G. 3, 198. b) Haec uerba, quae manifeste ex glossemate intrusa sunt, uel antiquissimae libri recensioni haerere potuerunt et ueri similius ad Gai locum 3, 198 spectabant. de re cfr. D. 47, 2, 46, 8.

duplum petitur: uel si perierit, eius pretii duplum. cum haec tibi perspecta sint, uide quid inde sequatur. Titius seruum meum sollicitauit animo corrumpendi, ut a me aufugeret, addiditque etiam, ut quandam rem meam subriperet. seruus de hoc me certiorem fecit. cum ego seruo non crederem, uellemque Titium in ipso maleficio deprehendere, permisi seruo id facere; qui quaedam ex suppellectili mea ferens ad Titium se contulit. sequebar ego illum clam scire cupiens, uerane essent quae seruus dixisset. cum seruus ad locum inter se ac Titium constitutum peruenisset, subreptam rem Titio dedit. reapse igitur inueni seruum non fuisse mendacem. quaeritur quae mihi actio aduersus Titium ex his competat? et primum non potest actio furti competere, nam licet animo furandi rem Titius contrectauit, non tamen contra domini uoluntatem id factum est. num serui corrupti actio competet? ne haec quidem dari potest; non enim serui mores deteriores facti sunt: immo cum antea eius beniuolentia erga dominum lateret, nunc manifesta apparuit. et ita euenit, ut Titius, qui in una re plura admiserit, nulla actione teneatur. [quidam prudentes dabant hinc furti actionem.] set cum essent prudentium ambiguitates et quidam omnem actionem negarent, quidam furti actionem concederent, res ad principem nostrum perlata est, prodiitque eius constitutio, quae ut huiusmodi calliditati obuiam iretur, Titium non solum furti set corrupti quoque serui obnoxium

καὶ τὰ μάλιστα γὰρ οἱ τοῦ δούλου τρόποι χείρονες οὐ γεγόνασι καὶ διὰ τοῦτο ἤργησαν οἱ τῆς serui conrupti *κανόνες, ἀλλ' ὅμως ἐπειδὴ τοῦ ὑπονοθεύοντος ἡ κακίστη βουλὴ πρὸς ἀπώλειαν τῶν*[1] *χρηστῶν τοῦ οἰκέτου τρόπων*[2] *χωρεῖ, ἐθέσπισεν ἐπὶ τιμωρίᾳ τοῦ* Titiu *δίδοσθαι τὴν* serui conrupti, *ὥςπερ εἰ τῇ ἀληθείᾳ τὸν οἰκέτην ὑπέφθειρεν*[3]*, ἵνα μὴ ἀτιμώρητος ἐπὶ τούτῳ μείνας ὁ* Titios *ἐφ' ἕτερον οἰκέτην ὁρμήσῃ, ὃν δυνατὸν ἴσως τῶν χρηστῶν ἀπαγαγεῖν τρόπων.*
9. 9. *Ἔσθ' ὅτε καὶ ἐπὶ ἐλευθέροις προσώποις ἁμαρτάνεται κλοπή, οἷον ἐάν τις*[4] *τοὺς ὑπεξουσίους παῖδας ὑφέληται λάθρα, υἱὸν ἢ θυγατέρα ἢ ἔκγονον ἢ ἐκγόνην. κινῶ δὲ τὴν* furti *εἰς τὸ διαφέρον, καὶ ποῖον διαφέρον εἰπεῖν ἔστιν ἐνταῦθα*[5]; *ὑπόθου ὅτι τελευτῶν τις ἐνεστήσατο κληρονόμον τὸν ἐμὸν υἱὸν ὑπὸ αἵρεσιν*[6]· *»ἐὰν εὑρεθῇ διάγων ἐν ταύτῃ τῇ πόλει«. ἔκλεψας δὲ τοῦτον καὶ εἰς ἑτέραν ἀπήγαγες πόλιν. κατὰ τὸν καιρὸν τῆς τελευτῆς τοῦ* testátoros *συνέβη αὐτὸν ἐν αὐτῇ μὴ εὑρεθῆναι τῇ πόλει· ἠτόνησεν ἡ αἵρεσις καὶ τῆς κληρονομίας ἐξέπεσεν. κινῶν ἐγὼ κατά σου τὴν* furti *λήψομαι ὅσον ἐζημιώθην. ἐζημιώθην δὲ τὸν* usúfructon *τῆς κληρονομίας ὃς ἤμελλέ μοι προςπορίζεσθαι· τούτου τὴν διατίμησιν ἀπαιτήσω.*
10. 10. *Πολλάκις καὶ ἐπὶ τῷ οἰκείῳ τις ἁμαρτάνει πράγματι κλοπήν. οἷον εἰ ὁ* debitωr[7] *τὸ πρᾶγμα ὅπερ*[8] *ἐνεχυρίασε τῷ δανειστῇ ὑφείλετο λάθρα, ἀδικεῖ γὰρ τὸν δανειστὴν τῆς ἀπὸ τοῦ ἐνεχύρου στερῶν ὠφελείας.*
11. 11. *Ἔσθ' ὅτε τις καὶ μὴ κλέψας κατέχεται τῇ* furti[9]. *τοῦτο δὲ συμβαίνει ἐπ' ἐκεῖνον* cuius ope consilio furtum factum est[10]. *οἷον νούμμους*[11] *τις ἐπεφέρετο ἐν τῇ οἰκείᾳ χειρί, τούτους ἕτερος ἐξετίναξεν*[12]*, ὥςτε ἄλλον ἁρπάσαι, ἢ ἐπεσκότισε τῇ σῇ θέᾳ, ὥςπερ ἄλλον τὸν σὸν ὑφελέσθαι πρᾶγμα, ἢ τὰ πρόβατα ἢ τοὺς βόας τοὺς σοὺς ἐφυγάδευσεν*

1) d. Vi. R. 2) *τρ. τοῦ οἰκ.* onm. praet. M. 3) *διέφθ.* Vi. F¹. R. 4) *τίτιος* L⁶. 5) M. L⁶.: *καὶ ποῖον διαφέρον ἐστὶν ἐνταῦθα* [d. L¹. L².] *εἰπεῖν ἀναγκαῖον* cet. 6) *τὴν* ad. L⁶. 7) *εἰς δεβίτορα* L⁶. 8) *ὅ* Vi. R. 9) *τῇ φ. κατ.* L¹. L². L⁶. 10) *τουτέστιν οὗ σπουδῇ καὶ βουλῇ [συμβουλῇ* Vi. R. *κλοπῇ* L⁶.*] ἡμαρτήθη ἡ κλοπή* ad. libri. ed. 11) númmus M. 12) *ἐξετ. ἕτ.* Vi. F. R.

esse sanxit. licet enim serui mores deteriores non sint facti, et ideo non concurrant regulae, quae serui corrupti actionem introducant, tamen pessimum corruptoris consilium ad perniciem proborum serui morum tendit; itaque ad Titium puniendum serui corrupti actionem dari praecepit, tanquam re ipsa seruum corrupisset, ne impunis manens Titius seruum alium adgrediatur, quem forte possit a bonis moribus

9. auertere. 9. Interdum etiam liberorum hominum furtum committitur. nam si quis liberos, qui in mea sunt potestate, filium filiamue, nepotem neptemue subripiat; furti actione id quod interest persequar. et quid in eiusmodi casu intersit exponendum est. finge quendam moriturum filium meum heredem instituisse sub hac condicione, ut in hac urbe degeret. eum subripuisti et in aliam urbem duxisti, ita ut mortis tempore testatoris in hac urbe non inueniretur. defecit condicio et hereditatis ius amisit filius. actione igitur furti consequar a te, quanti iacturam passus sum. porro hereditatis usumfructum amisi, qui mihi adquirendus erat; eius igitur aesti-

10. mationem persequar. 10. Saepius suae quoque rei aliquis furtum committit, ueluti si debitor rem, quam creditori pigneris causa dedit, clam subtraxerit. laedit enim creditorem, cum ei commodum auferat, quod in pigneris causa est.

11. 11. Interdum furti tenetur qui furtum non fecit. id autem in eo contingit, cuius ope consilio furtum factum est. in quo numero est is, qui cum aliquis nummos in manu sua haberet, eos excussit ut alius tolleret; uel conspectui tuo obstitit, ut alius rem tuam subriperet; aut oues aut boues

ὥςτε ἕτερον[1]) *ταῦτα λαβεῖν. ἰδοὺ ἐνταῦθα οὐχ ἥψατο τῶν πραγμάτων τῶν σῶν, καὶ*[2]) *ὅμως κατέχεται τῇ* furti *ἀγωγῇ· μόνον μέντοι (τοῦτο γὰρ*[3]) *ἔξωθεν ἴσθι) εἰ ἕτερος ἐψηλάφησε τὰ ἀπολλύμενά σου πράγματα*[4])· *δίχα γὰρ ψηλαφήσεως οὐδέποτε κλοπὴ ἁμαρτάνεται. τοῦτο δὲ τῶν βοῶν*[5]) *ἔγραφον οἱ παλαιοὶ ἐπ' ἐκείνου, ὅστις ῥάκκει ἐρυθρίῳ*[6]) *διεσόβησε τὰ βουκόλια. εἰ δὲ τοῦτο κατὰ τρυφὴν καὶ*[7]) *οὐκ ἐπίτηδες, ἵνα κλοπὴ ἁμαρτηθῇ*[8]), *γεγένηται, ἡ* in factum *ἀγωγὴ παρέχεται κατὰ τοῦ ταῦτα πράξαντος, κατὰ δὲ τοῦ ὑφελομένου ἡ* furti. *ἡνίκα δὲ τῇ* Maeuiu *σπουδῇ ὁ* Titios *κλοπὴν εἰργάσατο, ἀμφότεροι κρατοῦνται. κἀκείνου δὲ σπουδῇ καὶ βουλῇ κλοπὴ πλημμελεῖται, ὃς κλίμακα θυρίσιν ἢ ὑπέθηκεν ἢ αὐτὰς ἔκλασε τὰς θυρίδας ἢ καὶ θύραν ἐπὶ τὸ ἕτερον κλέψαι, ἢ ὅστις σίδηρα*[9]) *πρὸς τὸ*[10]) *κλᾶσαι κλεῖν ἢ θυρίδας, ἢ κλίμακας ἔχρησεν, ὥςτε θυρίσιν ὑποτεθῆναι, ἐπιστάμενος ἐφ' οἷα πράξει τις ταῦτα*[11]) *κιχρᾶται. εἰ δέ τις οὐδεμίαν σπουδὴν πρὸς ποιητέαν κλοπὴν ἐπεδείξατο, ἀλλὰ μόνον συνεβούλευσε καὶ τὸν θέλοντα κλέψαι προετρέψατο, οὐ κατέχεται τῇ* furti. 12. *Ἐὰν ὁ ἐμὸς* 12.
οἰκέτης ἢ ὁ[12]) *υἱὸς ὁ*[13]) *ὑπεξούσιος*[14]) *κλέψῃ τι τῶν ἐμῶν, κλοπὴ μὲν ἁμαρτάνεται καὶ* fúrtiuon *ἀποτελεῖται τὸ πρᾶγμα καὶ ὑπ' οὐδενὸς* usucapiteúεσθαι *δύναται, μέχρις οὗ εἰς τὴν τοῦ δεσπότου κατοχὴν ὑποστρέψῃ. ἡ μέντοι* furti *οὐ τίκτεται κατὰ τοῦ κλέψαντος, ἐπειδὴ οὐδ' ἑτέρα τις ἀγωγὴ ἀπὸ συναλλάγματος ἢ ἀπὸ ἁμαρτήματος μεταξὺ τούτων συστῆναι δύναται. εἰ δὲ συμβουλῇ καὶ*[15]) *σπουδῇ ἑτέρου κλοπὴ παρὰ τῶν ἡμετέρων ὑπεξουσίων ἡμῖν γένηται*[16]) *ἐπειδὴ κλοπὴ πλημμελεῖται, ἁρμοδίως ἐκεῖνος κατασχεθήσεται τῇ* furti[17]), *οὗ σπουδῇ τοῦτο πέπρακται, εἰ καὶ ὁ ἀφελόμενος διὰ τὸν*

---

1) *ἄλλον* Vi. R. 2) *ἀλλ'* Vi. R. 3) *δ.* Vi. R. 4) *πρόβατα* Pi. 5) [*τὸ* L^1. L^2. L^6.] *τῶν βόων* ad. M. Pi. L^1. L^2. L^6. 6) ita pro *ῥάκει —θρῷ* M. 7) *δ.* L^6. 8) *—θεῖσα* L^6. 9) *—ρᾶ* R. 10) *ἐπὶ τῷ* Vi. F. R. 11) *ταῦτα τις* L^1. 12) *δ.* L^1. L^2. L^6. 13) *δ.* L^1. L^2. L^6. 14) *ἢ ὁ ἐμ. ὑπεξ.* Vi. R. 15) ita Vi. R.: cet. *ἢ*, quod ferri potest: *συμβῇ ἢ σπ. ἑτ. ἢ συμβ.* L^6. 16) *γενέσθαι* L^6. 17) *τῇ* f. *κατ.* Vi. F. R.

tuas fugauit, ut eas alius exciperet. in his enim exemplis non contrectauit hic res tuas et tamen furti actione tenetur, si modo (id enim extrinsecus scias) amissas res tuas alius contrectauerit. sine enim contrectatione nunquam furtum committitur. id autem de eo ueteres scripserunt, qui panno rubro armentum fugauit. si uero per lasciuiam et non data opera, ut furtum admitteretur, factum est, in factum actio datur in eum, qui fugauerit, in eum uero qui abduxerit furti actio. at ubi Maeuii ope Titius furtum fecerit, ambo furti tenentur. illius quoque ope consilio furtum admittitur, qui scalas fenestris supposuit aut fenestras ipsas uel ianuam effregit, ut alius furaretur; quique ferramenta ad seram uel fenestras effringendas uel scalas commodauit ut fenestris supponerentur, sciens cuius gratia commodauerit. certe si quis nullam operam ad furtum faciendum adhibuit set tantum consilium dedit et uolentem ad furtum faciendum hortatus
12. est non tenetur furti. 12. Si seruus meus aut filius, qui in mea potestate est, rem mihi subripiat, furtum quidem admittitur et furtiua res efficitur neque ab ullo potest usucapi, antequam in potestatem domini reuertatur, actio autem furti in eos, qui subripuerunt, non competit, quoniam neque ulla alia actio ex contractu aut ex delicto inter eos consistere potest. si uero alterius ope consilio furtum ab his, qui iuri nostro subiecti sint, nobis fiat, recte ille furti actione conuenietur, cuius ope id factum est, quamuis qui furatus est

τῆς ὑπεξουσιότητος λόγον[1]) οὐχ ὑποβάλλεται ταύτῃ. 13. Ἔχε 13. ταῦτα ὡς ἐν προθεωρίᾳ[a]). οἱ γεγονότες ἡμῖν ἔνοχοι ἔκ τινος συναλλάγματος ἐποφείλουσιν ἐπ' αὐτοῖς, ἐφ'[2]) οἷς ἐνέχονται, ἔσθ' ὅτε δόλον μόνον, ἔσθ' ὅτε δὲ[3]) καὶ diligentian[4])· ἢ γὰρ οὐκ ὀφείλουσι δόλον περὶ ταῦτα πλημμελεῖν ἢ οὐ χρὴ ῥαθύμους αὐτοὺς[5]) εἶναι περὶ τὴν τούτων φυλακήν. ἀλλ' εἰ μὲν μηδὲν κερδαίνουσιν, ἀπὸ δόλου μόνου κατέχονται, εἰ δέ τι προσεστιν αὐτοῖς κέρδος, τότε καὶ ἀπὸ ῥαθυμίας ὑπεύθυνοι γίνονται. κέρδος δὲ λέγω, οὐ μόνον τὴν τῶν χρημάτων λῆψιν, ἀλλὰ καὶ τὴν τοῦ σκόπου ἀποπλήρωσιν. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. ζήτησις γέγονε κλοπῆς γενομένης, ἄρα τίνι ἡ furti ἁρμόζει[6]) ἀγωγή. ἀλλ' ἴσως εἴποι[7]) ἄν τις[8]), ὅτι τῷ δεσπότῃ δίδοται. οὐκ ἔστι δὲ[9]) τοῦτο ἀληθὲς, ὁπότε καὶ δεσπότην ἔγνωμεν κατεχόμενον, ἡνίκα παρὰ τοῦ οἰκείου creditoros τὸ ἐνέχυρον ὑφέλκεται[10]). ἀλλὰ δίδοται ἐκείνῳ ᾧ διαφέρει. διαφέρει δὲ ἐκείνῳ, ὃν λυπεῖ γενομένη ἡ κλοπὴ, λυπεῖ δὲ ἐκεῖνον, ὃς κερδαίνει σωζομένου τοῦ πράγματος[11]), εἰ καὶ μὴ δεσπότης ἐστίν. ἀμέλει οὔτε δεσπότῃ ἑτέρως ἁρμόσει, εἰ μὴ διαφέροντος ὕπεστι[12]) λόγος. 14. Τί δὲ τοῦτό ἐστιν ἀναγκαῖον εἰπεῖν σαφέστερον. 14. ἐδανεισάμην ἐγὼ παρὰ Titiu ἐνεχυριάσας τούτῳ πρᾶγμα ἐμόν. ὑφείλετό τις τοῦτο παρὰ Titiu· τίνι δοθήσεται ἡ furti ἀγωγή; καὶ λέγομεν ὅτι τῷ creditori. τίνος ἕνεκα; ἐπειδὴ[13]) αὐτῷ διαφέρει· λυπεῖ γὰρ αὐτὸν γενομένη ἡ κλοπὴ, ἐπειδὴ καὶ αὐτὸς ἐκέρδανε[14]) σωζομένου τοῦ πράγματος ἔχων τὴν ἐπὶ τῷ χρέει δι' αὐτοῦ ἀσφάλειαν. ἀμέλει διὰ τοῦτο ἐποφείλει καὶ δόλον καὶ diligentian, οἷα καρπούμενος, ὡς εἴρηται, τὴν τοῦ χρέους ἀσφάλειαν διὰ τῆς τοῦ ἐνεχύρου κατοχῆς. οὐκοῦν αὐτῷ

---

1) εὔλογον L^{2}. L^{6}. 2) d. Vi. R. 3) d. L^{6}. Vi. R. 4) M. L^{1}. L^{2}. L^{6}.: —entiam Vi. F. R.: τουτ. σπουδήν ad. Vi. R. 5) d. Vi. R. 6) ita M.: cet. ἁρμ. ἡ f. 7) —ῃ Vi. R. 8) τις ἂν onm. praet. M. 9) ἀλλ' οὐκ ἔστι Vi. R. 10) M. Pi.: cet. —ληται. 11) τοῦ πρ. σωζ. Vi. F. R. 12) M.: ita iam cj. R. 13) M. L^{1}. L^{2}.: cet. ὅτι. 14) ita pro uulg. —αινε M. Pi. L^{6}.

a) Cfr. African. D. 30, 108, 12.

13. propter potestatis rationem non sit obnoxius. 13. Haec primum tibi perspecta habeas. qui nobis ex aliquo contractu sunt obligati in iis, ad quae tenentur, praestare debent, modo dolum tantum, modo etiam diligentiam. nam aut non oportet eos dolum in iis rebus admittere, aut non oportet eos in earum custodia fieri neglegentes. set si nihil lucrantur, ex dolo tantum tenentur, si uero quid lucri iis accedit, etiam ex neglegentia obligantur. lucrum autem non tantum in pecunia accipienda consistit, set et in explendo cuiusque proposito. cum haec tibi perspecta sint, uide quae inde sequantur. quaesitum est cuinam, furto admisso, furti actio competat. et forte quis dixerit domino eam competere. set non est hoc uerum; uidimus enim dominum ipsum interdum furti actione teneri, cum scilicet a creditore suo pignus abstrahat; quare dicendum est illi actionem dari, cuius interest. eius uero interest, cui furtum admissum incommodum adfert: incommodo autem adficitur qui, re salua, eius commodo utitur, licet dominus non sit. et ideo non aliter domino competit,
14. quam si eius intersit. 14. Quid uero hoc sit clarius dicendum est. mutuum a Titio accepi, remque meam ei obligaui. hanc a Titio quis subripuit: cuinam competet furti actio? et dicimus creditori competere. qua ex causa? quia eius interest; commodum enim sentit, re salua manente, cum ita de debito securus sit. itaque et dolum praestat et diligentiam, quia crediti securitatem, uti dictum est, per pigneris detentionem

δοθήσεται εἰκότως[1]) *ἡ* furti *ἀγωγὴ καὶ*[2]) *οὐκ ἐμοὶ τῷ δεσπότῃ· ἐγὼ γὰρ ἕξω κατ' αὐτοῦ τὴν* pigneraticiam[3]), *οἷα ῥαθυμήσαντος περὶ τὴν τούτου παραφυλακήν. ἕξει δὲ τὴν* furti *αὐτὸς ὁ* creditωr, *εἰ καὶ ἐγὼ ὁ* debitωr *εὐπορώτατός εἰμι· συμφέρει γὰρ αὐτῷ μᾶλλον κρατεῖν τὸ ἐνέχυρον καὶ περιποιεῖν ἑαυτῷ τὸ ἀσφαλὲς ἐντεῦθεν, ἢ* personaliam[4]) *κινεῖν κατ' ἐμοῦ*[5]). *ἐπὶ τοσοῦτον δὲ ἀληθὲς τὸ τὸν* creditora *ἔχειν τὴν* furti, *ὅτι εἰ καὶ τὰ μάλιστα ἐγὼ ὁ* debitωr *ὑφειλόμην τὸ ἐνέχυρον, οὐδὲν ἧττον τῷ* creditori, *ὡς εἴρηται πολλάκις, δοθήσεται ἡ* furti.

15. *Δέδωκα κναφεῖ κναπτέαν ἢ*[6]) *πλυτέαν ἐσθῆτα ἢ ῥάπτῃ* 15. *ῥαπτέαν, μισθοῦ ῥητοῦ*[7]) *ὁρισθέντος. κλοπῆς γενομένης, ἀπώλετο ταῦτα*[8]). *ὁ κναφεὺς ἢ ὁ ῥάπτης μᾶλλον ἕξει τὴν* furti *ἤπερ ὁ δεσπότης, τῷ γὰρ δεσπότῃ οὐ διαφέρει τὸ*[9]) *ἀπολέσθαι τὸ πρᾶγμα· ἔχει γὰρ ἐπὶ τῷ ἐσθήματι τὸ ἀσφαλὲς δυνάμενος κατὰ τοῦ ῥάπτου ἢ κναφέως κινεῖν τὴν* locati *καὶ τὸ οἰκεῖον ἀπαιτεῖν πρᾶγμα. ὁ δὲ ῥάπτης ἢ ὁ κναφεὺς διὰ τοῦτο κινοῦσι τὴν* furti, *ἐπειδὴ διαφέρει αὐτοῖς τὸ μὴ γενέσθαι τὴν κλοπήν, κερδαίνουσι γὰρ σωζομένου τοῦ ἐσθήματος τὸν ὁρισθέντα*[10]) *μισθόν. εἰ δέ τις* bona fide *πράγματος ἀλλοτρίου γενόμενος ἀγοραστὴς ὑπέστη τούτου κλοπήν, ἕξει τὴν* furti *παντὶ τρόπῳ καὶ ταῦτα δεσπότης οὐκ ὤν, ὥςπερ καὶ ὁ* creditωr· *τῷ δὲ κναφεῖ καὶ τῷ ῥάπτῃ οὐχ ἑτέρως δίδοται ἡ* furti, *εἰ μὴ εἴησαν εὔποροι, τουτέστιν εἰ μήπου τῷ δεσπότῃ τὴν τοῦ πράγματος διατίμησιν δύνανται καταβάλλειν*[11]). *εἰ γὰρ δοῦναι τὸ τίμημα τοῦ κλαπέντος*[12]) *οὐκ ἰσχύουσι, τότε τῷ δεσπότῃ δίδοται ἡ* furti, *ἅτε μὴ δυναμένῳ ἐξ αὐτῶν λαβεῖν τοῦ*[13]) *κλαπέντος τὴν διατίμησιν. τότε γὰρ αὐτῷ διαφέρει τὸ σώζεσθαι τὸ πρᾶγμα, οἷα τῆς διατιμήσεως τοῦ ἐσθήματος οὐ φυλαττομένης αὐτῷ ἐκ τῆς τοῦ κναφέως ἢ ῥάπτου περιουσίας. ταῦτα δὲ*

---

1) *εἰκ. αὐτ. δοθ.* Vi. F. R. 2) d. L1. F2. 3) ita M. L1. L2.: —titiam F. —oratitiam Vi. R.: *τὴν ἐνεχυριτικήν* ad. L2. 4) *ἤτοι προσωπικήν* ad. L1. L2. 5) M. L6.: cet. *κατ' ἐμ. κιν.* 6) *πλυντεῖ* L6. *πλυτῇ* Vi. R. 7) *ῥ. μ.* L6. 8) *αὕτη* F. R. *ταύτας* Vi. 9) *τοῦτο* Vi. R. 10) *ὡρισμένον* Vi. R. 11) *κατ. δύν.* Vi. F. R. 12) *πράγματος* ad. Vi. F. R. 13) d. L6.

percipiat. merito igitur datur ei furti actio, non mihi domino. ego enim pigneraticiam aduersus eum habebo, utpote qui in re custodienda neglegenter sit uersatus. habebit autem furti actionem creditor, etiamsi ego debitor idoneus sim; expedit enim ei pigneri potius incumbere et inde sibi securitatem comparare, quam in personam aduersus me agere. adeo autem uerum est creditori actionem furti competere, ut et si ipse debitor pignus subripuerim, nihilominus creditori, uti
15. saepius dictum est, furti actio detur. 15. Dedi fulloni poliendam aut lauandam uestem uel sarcinatori sarciendam, mercede certa constituta. furto admisso ea periit: magis est, ut ipse fullo aut sarcinator actionem furti habeat, quam dominus; domini enim non interest rem perire, cum ei de indemnitate uestis prospectum sit, quia a sarcinatore uel fullone locati actione rem suam persequi potest. sarcinator autem uel fullo ideo furti actionem exercent, quia eorum interest furtum non fieri: re enim seruata, mercedem constitutam adsecuntur. si quis bona fide rem alienam emerit, eamque furto amiserit, quamuis dominus non sit, furti actionem habebit, sicuti et creditor. fulloni autem et sarcinatori non aliter furti datur, quam si soluendo sint, hoc est si domino rei aestimationem soluere possint. nam si pretium subreptae rei praestare non possunt, tum furti actio domino competit, utpote qui nequeat ab eis subreptae rei aestimationem consequi: tunc enim eius interest rem saluam esse, quia uestis aestimatio ex fullonis sarcinatorisue bonis ei seruari non potest. haec autem dicimus siue in parte siue in solidum

λέγομεν εἴτε εἰς μέρος εἴτε εἰς ὁλόκληρον ἄπορος ὁ κναφεὺς ἢ ὁ ῥάπτης ὑπάρχοι. 16. Τὰ ἐπὶ τοῦ κναφέως καὶ ῥάπτου 16. εἰρημένα ἅπαντα ταῦτα μετέφερον οἱ παλαιοὶ καὶ ἐπὶ τοῦ χρησαμένου[a]. εἰ γάρ τινι ἔχρησα τὸ ἐμὸν τυχὸν[1]) βιβλίον[2]) ἐκλάπη δὲ τοῦτο, ἐπειδὴ commodati εἶχον ἀγωγὴν κατὰ τοῦ χρησαμένου, δι' ἧς ἐσώζετό μοι τὸ τίμημα τοῦ χρησθέντος, οὐκ ἐμοὶ τῷ δεσπότῃ ἀλλὰ τῷ χρησαμένῳ ἡ furti παρείχετο, ἐπειδὴ αὐτὸν ἐλύπει ἡ κλοπὴ[3]) συμβᾶσα[4])· ἐκέρδανε γὰρ σωζομένου τοῦ πράγματος. τὸ δὲ κέρδος ἦν οὐκ ἐν λήψει χρημάτων, ἀλλ' ἐν ἀποπληρώσει σκοποῦ, ἐπληροῦτο δὲ αὐτοῦ ὁ σκοπὸς διὰ τὸ τῆς χρήσεως ἀπολαύειν καὶ τούτου χάριν diligentian ἐχρεώστει ἐπὶ τῷ πράγματι, ὥσπερ καὶ ὁ κναφεὺς τῷ λαμβάνειν τὸν μισθόν. εἰ δὲ ἄπορος ἦν ὁ χρησάμενος εἰς ὁλόκληρον ἢ ἐν μέρει, ὁ νόμος ἐπ' ἐμὲ τὴν furti μετέφερεν. ἀλλὰ ταῦτα μὲν κατὰ μίμησιν τοῦ ῥάπτου καὶ κναφέως παρὰ τοῖς παλαιοῖς ἐπὶ τοῦ χρησαμένου ἐτρακταΐζετο[5])· διάταξις δὲ τοῦ ἡμετέρου γέγονε[6]) βασιλέως ζητήσεως τοιαύτης ἐπ' αὐτὸν ἀνενεχθείσης[7]), ὥςτε κλοπὴν ὑποστάντος τοῦ χρησαμένου ἐξουσίαν εἶναι τῷ δεσπότῃ τοῦ κλαπέντος εἴτε τὴν commodati βούλεται κατὰ τοῦ χρησαμένου κινῆσαι, εἴτε τὴν furti κατὰ τοῦ κλέπτου καὶ τῆς ἑτέρας ἐπιλεχθείσης μὴ δύνασθαι τὸν δεσπότην ἐκ μεταμελείας ἐπὶ τὴν ἑτέραν παραγίνεσθαι ἀγωγήν, ἀλλ' εἰ μὲν ἐπιλέξηται τὸν κλέπτην, ἐλευθεροῦσθαι τὸν χρησάμενον, εἰ δὲ ὁ χρήσας ἔλθῃ κατὰ τοῦ χρησαμένου, αὐτῷ μὲν τῷ χρήσαντι, οὐκέτι κατὰ τοῦ κλέπτου ἡ furti δοθήσεται, τῷ δὲ χρησαμένῳ ταύτην ἡ διάταξις παρέχει κατὰ τοῦ κλέπτου. τότε δὲ ὁ δεσπότης τοῦ πράγματος κινήσας τὴν commodati, ἀπόλλυσι τὴν furti, ἡνίκα εἰδὼς ὡς ἐκλάπη τὸ πρᾶγμα τὸ χρησθὲν, ἐπελέξατο τὴν commodati, γνοὺς[8]) δὲ μετὰ τὴν κατὰ[9])

---

1) d. Vi. R. 2) β. τ. L[6]. 3) ἡ ad. L[1]. L[2]. L[6]. 4) ἡ συμβ. κλ. Vi. F. R. 5) etractaΐζετο M. 6) d. L[6]. 7) ἀν. ἐπ' αὐτ. F.: εἰς αὐτ. Vi. R. 8) ἀγνοὺς Pi. ἀγνοῶν L[6]. 9) ad. ex M. Pi. L[6]. R.

a) Cf. Bas. schol. II 21.

16. non soluendo fullo aut sarcinator sit. 16. Omnia, quae de fullone et sarcinatore diximus, eadem transferenda existimabant ueteres ad eum, cui res commodata esset. nam si cui librum meum forte commodassem isque subreptus esset, cum mihi commodati actio aduersus eum, qui rem utendam accepisset, competeret, per quam commodatae rei aestimatio mihi seruaretur, non mihi domino, set ei, qui rem utendam accepisset, furti actio dabatur. nam ipse ex furto damnum sentiebat, qui re seruata frui posset: neque in eo eius commodum consistebat, quod pecunias caperet, set quod intentionem suam explere posset. hanc autem explebat in re utenda, et ideo diligentiam in re custodienda praestare debebat, sicuti et fullo, qui mercedem consequitur. si uero non soluendo esset is qui rem utendam suscepisset, uel in solidum uel ex parte, ad me dominum furti actio transferebatur. set haec quidem ad sarcinatoris atque fullonis similitudinem apud ueteres optinebant. constitutio autem principis nostri prodiit, cum eiusmodi quaestio ei esset relata, qua cautum est, ut si is, qui rem utendam acceperit, furtum passus sit, in domini amissae rei uoluntate sit, siue commodati actionem aduersus eum, qui rem commodatam accepit, mouere desiderat, siue furti aduersus eum, qui subripuit, et alterutra earum electa, non possit dominus ex poenitentia ad alteram uenire actionem. set si quidem furem elegerit, ille qui rem utendam accepit liberetur; sin autem commodator ueniat aduersus eum, qui rem utendam acceperit, ipsi commodatori nullomodo furti aduersus furem competat. ei autem, qui rem commodatam accepit, hanc aduersus furem actionem constitutio dat. tunc autem dominus ex commodato agens furti actionem amittit, cum

τοῦ χρησαμένου προκάταρξιν εἰ[1]) βούλεται καταλιπεῖν τὴν
commodati χωρῆσαι δὲ ἐπὶ τὴν furti, δίδωσιν αὐτῷ παρρησίαν
τοῦτο[2]) ποιεῖν ἡ διάταξις καὶ παραγενέσθαι παρὰ τοῦ κλέπτου,
οὐδεμιᾶς[3]) αὐτῷ δικαιολογίας ἀντιτιθεμένης, ἐπειδὴ μήπω
γνοὺς τὸ ἀληθὲς προκατήρξατο κατὰ τοῦ χρησαμένου, εἰ μὴ
ἄρα ὁ χρησάμενος τῷ δεσπότῃ τοῦ πράγματος τὸ ἱκανὸν
ἐποίησεν ἐπὶ τῷ κλαπέντι πράγματι, πρὶν ὁ δεσπότης μάθῃ
τοῦτο κεκλέφθαι. τηνικαῦτα γὰρ ὁ μὲν κλέπτης οὐχ ὑπο-
κείσεται τῷ δεσπότῃ τῇ furti, ἐναχθήσεται δὲ παρὰ τοῦ χρη-
σαμένου, ὃς οἰκείοις χρήμασι τῷ δεσπότῃ τοῦ πράγματος
ἐθεράπευσε τὴν ζημίαν, ὡμολογημένου κἀκείνου, ὅτι εἰ ἀγνοῶν
ὑφῃρῆσθαι[4]) τὸ πρᾶγμα ὁ δεσπότης ἐκίνησε τὴν commodati,
εἶτα μαθὼν ἐν τῷ μεταξὺ μετῆλθεν ἐπὶ τὴν furti, οὐκέτι
δυνήσεται παλινδραμεῖν ἐπὶ τὴν commodati. ἠλευθέρωται
γὰρ ὁ χρησάμενος τῆς ἐξ αὐτοῦ ἐναγωγῆς[5]), εἰ καὶ τὰ μάλιστα
ἡ κατὰ τοῦ κλέπτου ἀγωγὴ οὐκ ἔσχε χρηστὸν ἀποτέλεσμα
διὰ τὸ πολλάκις ἄπορον εὑρεθῆναι τὸν κλέπτην. κρατείτω
δὲ ταῦτα εἴτε εἰς μέρος εἴτε εἰς ὁλόκληρον εὔπορος ἦν πρὸς
τὴν καταβολὴν τοῦ τιμήματος τοῦ χρησθέντος πράγματος.
17. Παρεθέμην Titίῳ πρᾶγμα ἐμόν, diligentian οὐκέτι ἐπο- 17.
φείλει ἐπὶ τῷ παρακατατεθέντι[6]) πράγματι, οἷα μηδὲν κερδαί-
νων, ἀλλ' ἐκ τοῦ ἐναντίου μᾶλλον αὐτὸς[7]) τῷ δεσπότῃ κέρδους
αἴτιος γίνεται, ὡς ἐν ἀσφαλεῖ τόπῳ μᾶλλον τὸ ἐμὸν παρα-
θέμενος πρᾶγμα. μόνον δὲ ἐπὶ τούτῳ ὑπεύθυνος εἶναι τῇ
depositi, ἐὰν κατά τινα δόλον αὐτοῦ βλαβῇ τὸ πρᾶγμα, ὅθεν,
ὑφαιρεθέντος τούτου, ἐπειδὴ οὐκ ἐνάγεται πρὸς τὴν τοῦ
πράγματος ἀποκατάστασιν διὰ τὸ μηδὲν διαφέρειν αὐτῷ τὸ[8])
σώζεσθαι τὸ πρᾶγμα, οὐ κινήσει κατὰ τοῦ κλέψαντος τὴν
furti, ἀλλ' ἁρμόσει αὕτη τῷ δεσπότῃ. 18. Ἐν τέλει δέ σε 18.
ἐκεῖνο οὐκ ἄτοπον εἰδέναι, ὡς ζήτησις γέγονεν εἰ ἄρα ἄνηβος
ἀλλότριον ὑφελόμενος πρᾶγμα κρατεῖται τῇ furti, ἐπειδὴ πονηρᾶς

---

1) καὶ M. Pi. 2) τὸ L^{2}. 3) μηδ. L^{6}. Vi. R. 4) —αιρεῖσθαι Vi. G. 5) ἀγ. L^{6}. Vi. R. 6) —καταθέντι Vi. F^{1}. 7) —τὸ L^{1}. F. 8) τῷ Vi. G.

sciens rem commodatam esse subreptam commodati actionem elegerit. si uero post litem contestatam, re comperta, remittere actionem commodati et ad furti peruenire uoluerit, licet ei id facere ex eadem constitutione et aduersus furem uenire, nullo obstaculo ei opponendo, quoniam nondum rei gnarus cum eo, qui rem commodatam accepit, litem contestatus est; nisi tamen is domino satisfecerit de re subrepta, antequam ipse compertum haberet eam esse subreptam. tunc etenim fur domino actione furti non tenebitur; set conuenietur ab eo, qui rem utendam accepit, quique sua pecunia indemnem dominum seruauit. manifestissimum illud quoque est, si dominus ignorans rem esse subreptam actionem instituit commodati, postea autem certior aliquando factus ad furti actionem transiit, non posse eum rursus ad commodati actionem reuerti, liberatur enim is, qui rem commodatam accepit, intentione ab illo concepta, licet actio aduersus furem non optimum exitum sortiatur; quia saepe fures non soluendo esse deprehenduntur. eadem optinent siue in partem siue in solidum rei sibi commodatae is qui accepit aestimationem soluere
17. possit. 17. Rem meam apud Titium deposui. diligentiam in re deposita praestare non debet, quippe qui nullum inde commodum percipiat; immo contra mihi domino causam commodi praebeat, qui in tutiore loco, quam apud me, rem deposui. in eo uero tantum obnoxius erit depositi, cum ipse depositam rem dolo malo laeserit. qua de causa si res ei subrepta fuerit, quia restituendae eius nomine non tenetur, ideoque eius non intersit rem seruari, aduersus eum qui subripuit non habebit furti actionem, set ea domino competet.
18. 18. In summa sciendum tibi est, quaesitum esse en impubes rem alienam amouendo furti obnoxius sit, quia affectus

ἐστέρηται διαθέσεως ἡ τοιαύτη ἡλικία καὶ μᾶλλον ὡς κατὰ τρυφὴν[1]) καὶ ἐν παιγνίῳ[2]) ἢ κατὰ δόλον ὑφαιρεῖσθαι[3]) δοκεῖ τὸ πρᾶγμα. ἀλλ' ἤρεσε τότε ἔνοχον αὐτὸν γίνεσθαι τῇ furti, ἐάν ἐστι próximos pubertati[4]) καὶ οἶδεν ἑαυτὸν διὰ τοῦτο κλέπτοντα πλημμελεῖν. 19. Ἡ furti εἴτε ἐπὶ τῇ ἀπαιτήσει τοῦ 19. διπλασίονος ἢ τοῦ τετραπλασίονος κινεῖται, ποινῆς μόνην[5]) ἀπαίτησιν οὐ τοῦ πράγματος ἔχει· τὸ γάρ[6]) πρᾶγμα ἔξωθεν ἀπαιτήσει ὁ τοῦ πράγματος δεσπότης ἢ διὰ τῆς in rem ἢ διὰ τοῦ condicticiu. ἀλλ' ἡ μὲν in rem κατὰ παντὸς νομέως οὕτω δοθήσεται, εἴτε ὁ κλέπτης αὐτὸς[7]) νέμεται εἴτε ἕτερός τις, ὁ δὲ fúrtiuos condicticios κατὰ μόνου τοῦ κλέπτου ἢ κληρονόμων[8]) αὐτοῦ δοθήσεται, εἰ καὶ μὴ νέμονται τὸ κλαπέν.

De ui bonorum raptorum[9].) Titulus 2.

Τοὺς ἀλλότρια ἁρπάζοντας πράγματα οὐκ ἐῶσιν ἀτιμωρήτους οἱ νόμοι· κρατοῦνται γὰρ τῇ furti, οὐδεὶς γὰρ μᾶλλον τὸ ἀλλότριον πρᾶγμα ἄκοντος ψηλαφᾷ τοῦ δεσπότου, εἰ μὴ ὁ κατὰ βίαν ἁρπάσας τοῦτο, ὅθεν ὀρθότατα τοῦτο λέγεται[10]) ἀναιδέστατον εἶναι κλέπτην τὸν ἅρπαγα. ἀλλὰ καὶ ὁ praetor ἰδίαζουσαν ἐπενόησε προφάσει[11]) τούτου γοῦν τοῦ πταίσματος[12]) ἀγωγήν, τὴν[13]) ui bonorum raptorum. αὕτη δὲ εἴσω μὲν ἐνιαυτοῦ, ἐξ οὗ τὴν ἁρπαγὴν γενέσθαι συνέβη[14]) εἰς τὸ τετραπλοῦν[15]), μετὰ δὲ[16]) ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν κινηθήσεται.

---

[1]) ἢ ins. L^6. [2]) M. L^6.: cet. ἐμπαιγνίαν. [3]) M. L^6.: cet. ἀφ. [4]) —tis L^6. [5]) —ον Vi. R. [6]) M. L^6.: cet. δὲ. [7]) —τὸ Vi. R. —τὸν F^1. [8]) —μου Vi. R. [9]) Περὶ τῶν βίᾳ τὰ ἀλλότρια ἁρπαζόντων add. libri [praet. L^2.] ed. [10]) λέγ. τ. Vi. R. [11]) πρόφασιν L^2. [12]) πράγματος L^6. Vi. [13]) de ad. L^2. [14]) συν. γέν. onm. praet. M. L^6. [15]) κινηθήσεται h. l. L^1. L^2. [16]) τὸν ad. Vi. R.

furandi in eiusmodi aetate plerumque deest, et magis uidetur per lasciuiam et ludum, quam dolo molo rem amouisse. set ita demum eum furti obligari placuit, si proximus pubertati
19. sit et ob id intellegat sese furando delinquere. 19. Furti actio siue duplum, siue quadruplum persequatur ad poenae tantum persecutionem non etiam rei pertinet. rem enim extrinsecus dominus persequitur, siue uindicando siue condicendo. set uindicatio quidem aduersus omnem possessorem competit, siue fur ipse possidet, siue alius quilibet: condictio autem furtiua aduersus furem tantum heredesue eius, licet rem non possideant, competit.

De[1]) ui bonorum raptorum. Titulus 2.

Eos, qui alienas res rapiunt iura impunitos esse non sinunt; nam furti tenentur. nemo enim magis alienam rem inuito domino contrectat, quam qui eam ui rapit. ideoque rectissime dicitur improbior fur raptor esse. set etiam praetor propriam actionem eius delicti nomine introduxit, h. e. *ui bonorum raptorum*. haec uero intra annum, ex quo rapina facta est, in quadruplum: post annum uero in simplum datur.

1) addidi ex Thi libris, licet Kruegerus expungat, subintellegitur nempe „actione“, licet aliter graeculi intellexerint.

ἔσται[1]) δὲ χρήσιμος[2]) ἔτι μὴν[a]) καὶ τούτῳ, ὅς ἑνὸς πράγματος ἁρπαγὴν ὑποστῇ, οὐδὲ γάρ, ἐπειδὴ τὸ ὄνομα τῆς ἀγωγῆς πληθυντικῶς πέφρασται ἐπὶ ἑνὸς οὐχ ἁρμόσει πράγματος ἁρπασθέντος· δίδοται γὰρ οὐδὲν ἧττον, οὐ διαφερομένων ἡμῶν εἴτε τίμιον[3]) εἴτε εὐτελὲς εἴη τὸ ἁρπαγέν. τὸ δὲ τετραπλάσιον ἐπὶ τῆς[4]) ui bonorum raptorum οὐχ ὅλον ἐστὶν ἐν ποινῇ καὶ ἔξωθεν ἡ τοῦ πράγματος ἀπαίτησις [ὡς ἐπὶ τῆς furti manifesti εἴρηται, ἀλλ' ἐν τῷ τετραπλασίῳ ἐστὶ καὶ ἡ τοῦ πράγματος ἀπαίτησις[5])], ὥστε συμβαίνειν τούτῳ τῷ λόγῳ ἐν τριπλῷ εἶναι τὴν ποινήν. ταῦτα δὲ[6]) λέγομεν, εἴτε συλληφθῇ ὁ ἅρπαξ ἐν αὐτῷ τῷ πλημμελεῖν εἴτε μή. τῶν δὲ καταγελάστων ἐστὶ κουφοτέρας αἱρέσεως εἶναι τὸν ἁρπάζοντα βίᾳ[7]) τοῦ λάθρα ὑφαιρουμένου· τοῦτο δὲ ἐὰν ἐξετασθείη τῇ furti nec manifesti, ψευδὴς ὁ λόγος εὑρίσκεται. ἀλλ' εἴρηται πρὸς τοῦτο ἐπὶ τῆς κλοπῆς, εἰ μὲν συσχεθῇ ἤτοι ὁραθῇ ὁ κλέπτης, ἐστὶν αὕτη ἡ furti manifesti εἰς τὸ τετραπλάσιον ἔχουσα τὴν ποινήν. εἰ δὲ μὴ συλληφθῇ ἢ μὴ ὁραθῇ, τότε ἐστὶν ἡ furti nec manifesti εἰς τὸ διπλοῦν. ὁ δὲ τὴν ἁρπαγὴν ἐργασάμενος κατέχεται εἰς τὸ τετραπλοῦν, εἴτε ἐν αὐτῷ τῷ πράγματι φωραθῇ, εἴτε καὶ λάθῃ[8]). καθόλου οὖν ἐπὶ τῆς κλοπῆς πότε μὲν τὸ διπλάσιον, πότε δὲ τὸ τετραπλάσιον, ἐπὶ δὲ τῆς ἁρπαγῆς ἀδιαστίκτως τὸ τριπλοῦν ἔσται ἐν ποινῇ[9]) εἴτε συνελήφθη εἴτε μὴ ὁ τὴν ἁρπαγὴν ἐργασάμενος[10])· κατὰ τοῦτο δοκεῖ ἢ πλέον τι ἔχειν ἢ οὐκ ἐλαττοῦσθαι. 1. Τὴν ui bonorum 1. raptorum συμβαίνει κινεῖσθαι ἡνίκα δόλῳ γέγονεν ἡ ἁρπαγή. ἐντεῦθεν δῆλον ὡς εἴ τις ἀπατηθεὶς καὶ τὸν νόμον ἀγνοῶν τὸ οἰκεῖον ἥρπασε πρᾶγμα ὑποπτεύσας ἐξεῖναι τῷ δεσπότῃ τὸ οἰκεῖον πρᾶγμα καὶ βίᾳ δύνασθαι λαμβάνειν

---

1) ἔστι Vi. F¹. R. 2) —ον Vi. G. 3) M. Pi. L¹. L². et tres ms. parisienses [v. et F². 573] legunt τι μικρόν, quod ferri non potest. 4) de ins. L². 5) ita suppleui ex lat. Inst. Ita fere in latina uersione iam coniecerat R. 6) d. F. 7) —αν L². 8) —θοι M. L⁶. 9) ἐν ποιν. ἔστ. τὸ τρ. L⁶. 10) καὶ ins. Vi. R.

a) cfr. Ulp. D. 47, 8, 2, 11.

quae actio illi quoque utilis erit, qui unius rei rapinam sit passus; non enim quia actionis designatio plurali numero est relata, ideo ipsa non competit, si res una rapiatur; datur enim nihilo minus, neque distinguimus utrum magni an minimi pretii rapta res sit. quadruplum autem in ui bonorum raptorum actione non totum in poena est, et extra poenam rei persecutio, [sicuti in furti manifesti actione dictum est, set in quadruplo et rei persecutio continetur.] itaque fit ut poena tripli sit. haec autem dicimus, siue in ipsa rapina raptor deprehendatur, siue non. ridiculum enim foret leuioris esse condicionis eum, qui ui rapit, quam eum, qui clam rem aufert: quae tamen ita se non habere ex furto nec manifesto intellegitur. nam cum de furto tractaremus diximus, si quis in ipso furto deprehendatur aut conspiciatur, furti manifesti actionem locum habere, cuius condemnatio quadrupli est; sin autem neque deprehendatur neque conspiciatur, furti nec manifesti in duplum actionem competere. qui autem rapinam admittit in quadruplum tenetur, siue in ipso maleficio deprehensus sit, siue etiam latuerit. in summa igitur furti poena modo dupli modo quadrupli est, rapinae autem semper tripli est, siue deprehensus fuerit raptor siue non, et ideo aliquid
1. amplius aut certe non minus habere uidetur. 1. Vi bonorum raptorum actio competit si dolo malo quis rapuerit. unde patet, si quis errore inductus et iuris imprudens rem suam rapuit eo animo, quasi domino liceat rem suam per uim

ἀπὸ τῶν νεμομένων οὐκ ὀφείλει ἐν τῷ δικαστηρίῳ τῆς[1]) ui bonorum raptorum καταδικάζεσθαι. ἀκόλουθον δὲ τοῖς εἰρημένοις ἐστὶ μηδὲ τῇ furti αὐτὸν ἔνοχον[2]) γίνεσθαι, ὅς πεπλανημένῳ λογισμῷ ἥρπασε καὶ οὐ κακούργῳ[3]). αλλ' ἵνα μὴ τοῖς βουλομένοις ἁμαρτάνειν τοιαύτη ὁδὸς ἐφευρεθῇ[4]), δι' ἧς[5]) τὰ οἰκεῖα κακουργήματα ἀζημίως ἐπιδείκνυνται καὶ τὴν οἰκείαν θεραπεύουσιν[6]) ἀπληστίαν, καλλίστη γέγονεν ἐκ τῶν θείων διατάξεων ἐπὶ τούτῳ[7]) φροντὶς, ὥςτε μὴ συγχωρεῖσθαί[8]) τινα κινητὸν ἢ αὐτοκίνητον πρᾶγμα, εἰ καὶ οἰκεῖον εἶναι[9]) τοῦτο νενόμικεν[10]), ἁρπάζειν τε καὶ βίᾳ λαμβάνειν. εἴρηται γὰρ τοιαύταις[11]) διατάξεσιν ὅπως τοιούτου[12]) τινὸς πλημμεληθέντος ὁ ἅρπαξ, εἰ μὲν ὡς οἰκεῖον πρᾶγμα τοῦτο[13]) ἁρπάζει, τῆς τοῦ πράγματος ἐκπέσῃ[14]) δεσποτείας, εἰ δὲ τὸ ἀλλότριον οἰκεῖον[15]) ἐνόμιζεν εἶναι, ἀποκαθιστάτω μὲν κατὰ τὴν[16]) πρώτην τάξιν τὸ πρᾶγμα, διδότω δὲ[17]) πρὸς τούτοις[17]) τὴν τοῦ πράγματος διατίμησιν, ὅπερ οὐ μόνον ἐπὶ τῶν κινητῶν πραγμάτων, ἐφ' οἷς καὶ[18]) ἁρπαγὴ δύναται γίνεσθαι ὥρισαν αἱ διατάξεις, ἀλλὰ καὶ ἐπὶ τῶν ἐφόδων, ἃς ἐπὶ τοῖς ἀκινήτοις πράγμασιν, οἰκίαις φημὶ καὶ ἀγροῖς, γίνεσθαι συμβαίνει. διετύπωσαν[19]) ταῦτα, ὥςτε πάσης ἁρπαγῆς τε καὶ ἐφόδου τούτῳ τῷ τρόπῳ[20]) τοὺς ἀνθρώπους σωφρονιζομένους ἀπέχεσθαι.

2. Ἐπὶ τῆς ui bonorum raptorum οὐ πάντως ἀπαιτοῦμεν 2.
δεσπότην εἶναι τοῦ ἁρπαγέντος πράγματος τὸν τὴν ἁρπαγὴν ὑπομείναντα. εἴτε γὰρ in bonis αὐτοῦ ἐστιν,[21]) [τουτέστιν ὑπὸ τὴν αὐτοῦ τελεῖ δεσποτείαν], εἴτε οὐ δεσπόζεται ὑπ' αὐτοῦ, μόνον μέντοι ex bonis ἐστιν αὐτοῦ, [τουτέστιν οἱ

---

1) de ins. L². 2) ἔν. αὐτ. Vi. F. R. 3) M. L¹. L².: cet. —ως. 4) ἐφ. ὁδ. Vi. F. R.: —ρεθείη cj. R. 5) καὶ ins. L⁶. 6) M. L⁶. Vi. R. —σωσιν L¹. L². F. —σουσιν G. 7) —των L¹. L². L⁶. Vi. R. 8) —ηθῆναι F. 9) d. Vi. R. 10) τοῦτο νεν. εἶν. L². εἶν. νεν. τ. L⁶. 11) M.: ταῖς αὐταῖς cet. 12) M: —οῦτόν cet. 13) τοῦτο τὸ πρ. L¹. L². L⁶. 14) ita Vi. R.: cet. —σοι. 15) ita M. (τὸ m. 2ª) L⁶. Vi. R.: ἀλλ. τὸ οἰκ. L². F. 16) d. Vi. R. 17) καὶ ins. Vi. R. 18) ἡ ins. Vi. R. 19) —σε(ν) Vi. G. δὲ ad. L⁶. Vi. F. R. 20) τῷ τρ. τούτ. L⁶. 21) ἐ. αὐτ. F.

auferre a possessoribus, eum iudicio ui bonorum raptorum condemnari non posse. cui scilicet conueniens est nec furti teneri eum, qui errore ductus non dolo malo rapuit. set ne peccare uolentibus talis inueniatur uia, per quam impune sua exerceant maleficia, et suae indulgeant auaritiae, optime pro hac parte diualibus constitutionibus prospectum est, ut nemini liceat rem mobilem uel semouentem rapere, licet suam eam rem esse existimet, et ui auferre. cauetur enim isdem constitutionibus, ut, si quid contra factum fuerit, is, qui tanquam suam rem rapuit, eius dominio cadat, is autem qui rem alienam falso suam esse putauerit, primum quidem rem restituat, et praeterea rei aestimationem praestet. quod non solum in mobilibus rebus, quae rapi possunt, constitutiones sanxerunt, set etiam in inuasionibus, quae circa res soli fiunt, aedes nempe et fundos. haec autem idcirco constituerunt, ut ex hac causa homines prudentiores facti omni rapina et
2. inuasione se abstinerent. 2. In ui bonorum raptorum actione non utique eum expectamus dominum esse raptae rei, qui rapinam passus est: siue enim in bonis eius est [idest in eius dominio,] siue ex bonis [idest non in dominio eius, set tamen

δεσπόζεται μὲν ὑπ' αὐτοῦ, ἐκ δὲ τῆς αὐτοῦ ἐστι περιουσίας[1])], *χώρα γενήσεται τῇ* ui bonorum raptorum. *ταῦτα δέ ἐστιν, ἃ οὐ δεσπόζεται μὲν ὑφ'*[2]) *ἡμῶν, ἐν δὲ τῇ ἡμετέρᾳ ἐστὶ περιουσίᾳ. οἷον ἐχρησάμην παρά τινος ἢ ἐμισθωσάμην οἰκέτην ἢ δανείσας ἔλαβον ἐνέχυρον ἢ καὶ παρετέθη μοι πρᾶγμα, οὕτως ὥςτε μοι διαφέρειν τὸ μὴ ἀφαιρεθῆναί μοι*[3]) *τοῦτο τὸ πρᾶγμα. τοῦτο δὲ συμβαίνει εἴγε λαμβάνων τὸ* depósiton, *πάκτον ἐποίησα*[4]), *ὥςτε καὶ ἀπὸ ῥαθυμίας με κατέχεσθαι· τὰ*[a]) *γὰρ γινόμενα πάκτα εἴωθεν ἀμείβειν τὰς τῶν συναλλαγμάτων φύσεις· ἰδοὺ γὰρ ἐκ τοῦ συμφώνου κινηθήσεται ἡ* depositi *οὐ μόνον ἀπὸ δόλου, ἀλλὰ καὶ ἀπὸ* diligentias[5]). *εἰ δὲ* bona fide *νέμομαί τι, ἤγουν καὶ* usúfructon *ἔχω ἐπὶ*[6]) *ἀλλοτρίῳ πράγματι ἢ καὶ ἕτερόν τι δίκαιον οἷον* ûson, *ὡς διαφέρειν μοι μὴ ἁρπαγῆναι τοῦτο, καλῶς λέγομεν ἐπὶ πάντων τούτων ἁρμόζειν τῷ τὴν ἁρπαγὴν ὑποστάντι τὴν* ui bonorum raptorum. *ταῦτα δὲ τὰ*[7]) *εἰρημένα, [νόει*[8])] *εἰ καὶ μὴ τῆς αὐτοῦ δεσποτείας, ἀλλὰ τῆς αὐτοῦ περιουσίας ὑπάρχει. κινῶν δὲ ἐπὶ τούτοις τὴν*[9]) ui bonorum raptorum, *οὐ τὴν δεσποτείαν λήψεται τῶν ἁρπαγέντων (πῶς γὰρ ἣν οὐκ εἶχεν;), ἀλλ' ἐκεῖνο μόνον ὅπερ ἐκ τῆς αὐτοῦ περιουσίας ἀφαιρεῖται*[10]), *τουτέστιν ὅπερ εἶχεν ἐπὶ τῷ πράγματι δίκαιον, οἷον* usúfructon *ἢ* ûson *εἶχεν ἐπὶ τῷ ἁρπαγέντι. ἐπειδὴ τούτου ἐστερήθη διὰ τῆς ἁρπαγῆς, τοῦτο αὐτῷ καὶ ὑποκαθίσταται. γενικῶς δὲ λεκτέον ἐστὶν*[11]) *ἐξ ὧν αἰτιῶν ἡ* furti *δίδοται* nec manifesti, *κλοπῆς γενομένης, ἐκ τῶν αὐτῶν*[12]) *αἰτιῶν πάντες ἕξουσι τὴν*[13]) ui bonorum raptorum.

---

1) *περ. ἐστ.* L^6.: haec libenter expungerem. cf. enim quae secuntur.
2) *ἀφ.'* Vi. G. 3) *μου* L^2. 4) *ἐπ. π.* L^6. 5) *ἤτοι ῥαθυμίας* L^2. 6) *ἐν* Vi. R. 7) d. Vi. R., qui cj. *ἔστω*. 8) suppleui. 9) d. L^2., qui l. de ui. 10) *ἀφῄρηται* cj. R. 11) *ὅτι* ad. Vi. R. 12) *τούτων τῶν* Vi. R. 13) de ins. L^2.

a) Cfr. Theoph. 3, 24, 3. schol. Bas. ad 23, 1, 9 (II 601).

in eius patrimonio], actioni ui bonorum raptorum locus fiet. haec autem sunt, quorum nos quidem domini non sumus, quae tamen in patrimonio nostro continentur: ut ecce hominem ab aliquo utendum accepi, aut mercede conduxi, aut pignus ex mutui causa accepi, aut res apud me deposita est, ita ut mea intersit, hanc rem mihi non abripi idque accidit si depositum accipiens pactus sim me culpam quoque praestiturum. pacta enim contractuum naturam mutare solent: ex huiusmodi enim conuentione depositi actione non ex dolo tantum, set ex culpa quoque tenebor. sin autem bona fide rem possideam, uel usumfructum in re aliena habeam, uel quod aliud ius, ut intersit mea eam non abripi, recte dicimus in omnibus hisce casibus ei qui rapinam passus est ui bonorum raptorum actionem competere. et haec quae dicta sunt optinent etiam si non in bonis eius, set ex bonis tantum res sit. at per ui raptorum bonorum actionem non dominium consequetur, quod in re non habuit, set illud tantum, quod ex eius substantia reuera sit ablatum, idest ius, quod in re ei fuerat: ut ecce si usumfructum uel usum in re ablata habuisset et eis per rapinam sit destitutus, in eosdem restituetur. et generaliter dicendum est ex quibus causis furti nec manifesti actio competit, ex isdem omnes ui bonorum raptorum actionem habere.

De lege Aquilia[1]. Titulus 3.

Περὶ τῆς ἑτέρῳ προςγινομένης βλάβης ὁ Aquilios[2]) *νομοθετεῖ τὸν ζημιοῦντα κολάζων. ἡ δὲ τούτου νομοθεσία εἰς τρία διαιρεῖται κεφάλαια. διαλέγεται δέ ἐν τῷ πρώτῳ κεφαλαίῳ περὶ τοῦ* pecus[3]), *φησὶ γὰρ οὕτως· ἐάν τις ἀλλότριον οἰκέτην ἢ ἀλλότριον τετράποδον ὅπερ ἐν τῷ ἀριθμῷ τῶν* pecúdων[4]) *ἐστὶν ἀδίκως ἀνέλῃ, ὅσου τὸ ἀναιρεθὲν πρᾶγμα πλείονος ὑπῆρχεν ἐν τῷ τῆς ἀναιρέσεως ἐνιαυτῷ, τοσοῦτον ὁ ζημιώσας τῷ δεσπότῃ δοῦναι καταδικαζέσθω*[5]). *ἑρμηνεύσωμεν δὲ τὰ εἰρημένα τῷ νόμῳ ἀσαφῆ κατά τι δοκοῦντα. καὶ τὸ μὲν εἰρημένον· »ἐάν τις ἀλλότριον οἰκέτην ἀδίκως ἀνέλῃ« τῶν ὡμολογημένων ἐστίν.* 1. *Εἶπε δὲ »ἢ ἀλλότριον τετράποδον«, καὶ οὐχ* 1. *ἠρκέσθη τούτῳ, οὐδὲ ἀδιαστίκτως καὶ ἀποτόμως εἶπε περὶ τούτου, ἀλλὰ προςτέθεικεν*[6]) *»ὅπερ ἐν τῷ ἀριθμῷ τῶν* pecúdων *ἐστίν«*[7]). *τοῦτο δὲ πρὸς*[8]) *ἐκεῖνο βλέπει. ἐὰν*[9]) *γὰρ ἀπροςδιορίστως εἴπῃ 'περὶ τετραπόδων' μὴ συνάψας καὶ*[10]) *τὸ εἶναι αὐτὰ*[11]) *ἐν*[12]) *ἀριθμῷ τῶν* pecúdων,[13]) *ἤμελλε τὸ πρῶτον τοῦ νόμου κεφάλαιον ἕλκεσθαι καὶ ἐπὶ θηρίων ἀγρίων ἐμοὶ διαφερόντων ἢ κυνῶν, ἡνίκα τις ἀνεῖλε ταῦτα. ἀλλ' οὐχ ἠβουλήθη περὶ τούτων τι ὁ νόμος εἰπεῖν. περὶ τούτων δὲ*[14]) *μόνων*[15]) *διειλέχθη, ἅτινα κυρίως νέμεσθαι καὶ ἀγεληδὸν εἴωθε βόσκεσθαι, ὁποῖοί*[16]) *εἰσιν ἵπποι ἡμίονοι πρόβατα βόες*[17]) *αἶγες. καὶ περὶ χοίρων δὲ τὸ αὐτὸ ἤρεσε·*

---

1) *Περὶ νόμου ἀκουϊλίου* [*ἀκουλίου* M.] ad. libri. ed.: in M. adduntur haec: *οὗτος ὁ τίτλος ἐστὶ τῷ θ̄ βιβλίῳ* [sic] *τῶν* digéstων *καὶ λ̄ε̄ τοῦ γ̄ βιβλ. τοῦ κώδικος.* Item adduntur haec: *περὶ πράγματος ἁρπαγέντος τοῦ εἰς χρῆσιν δοθέντος.* 2) scr. M. 3) *ἤτοι κτήνους* ad. L^6. Vi. R. 4) scr. M. 5) *—ζεται* Vi. G.: *—ζηται* L^6. 6) *προσέθηκεν* Vi. R. 7) d. L^6. 8) d. L^6. 9) *εἰ* L^6. 10) scripsi pro '*τὸ καὶ*': *καὶ* d. Vi. R. 11) *—τὸν* L^2. *—τῷ* M. 12) *τῷ* ins. L^6. 13) *τὸ 'καὶ ἐν ἀριθμῷ τῶν πεκ. ἐστίν'* L^1.: quod fortasse praestat. 14) M.: cet. *περὶ γὰρ τούτ.* 15) *—ον* Vi. R. 16) *—οῖά* Vi. R. 17) M.: cet. *βόες πρόβ.*

De lege aquilia. Titulus 3.

De damno alteri iniuriae dato lex aquilia prospexit, qui eum coercet, qui id dederit. haec autem lex in tria capita diuiditur. in primo autem capite de pecudibus cauetur, his uerbis: »si quis hominem alienum alienamue quadru»pedem, quae pecudum numero sit, iniuria occiderit, »quanti id quod occisum fuit, in eo anno, quo »occisum est, plurimi fuit, tantum occisor domino »dare damnetur«. interpretemur autem uerba legis, quae subobscura esse uidentur. quod tamen dicitur »si quis hominem alienum iniuria occiderit« plane in expedito
1. est. 1. Dixit autem »quadrupedemue alienam«, neque his uerbis contenta fuit lex, neque confuse atque abrupte de hoc est locuta, set addidit »quae pecudum numero sit«. id autem eo pertinet, quod si generatim de quadrupedibus esset locuta non addens eas pecudum numero esse debere, intellegendum esset hoc prius caput de feris quoque bestiis, quae mihi pertineant, uel canibus, si quis eos occiderit. set noluit de his lex cauere; nam de illis tantum locuta est, quae proprie et gregatim pasci solent, quales sunt equi muli boues

καὶ γὰρ οἱ χοῖροι τῇ τῶν pecúdum περιέχονται προσηγορίᾳ καὶ τούτους γὰρ ἀγεληδὸν νέμεσθαι συνωμολόγηται. τοῦτο γὰρ καὶ ὁ ποιητὴς Ὅμηρος[1]) ἐν τῇ Ὀδυσσείᾳ διδάσκει, ὡς ὁ Aélios Marcianòs[2]) ἐν τοῖς οἰκείοις αὐτοῦ[3]) ἀναφέρει Institútois, τούτων μεμνημένος[4]) τῶν ἐπῶν·

δήεις τόνγε σύεσσι παρήμενον· αἱ[5]) δὲ νέμονται
πὰρ κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ.

τὸ δὲ »νέμονται« δηλοῖ τὸ »ἀγεληδὸν βόσκεσθαι«. 2. Τὸ 2.
δὲ εἰρημένον τῷ νόμῳ »iniuria occiderit«. τοῦτο[6]) νοοῦμεν[7]) »παρανόμως ἐφόνευσε«, τουτέστι[8]) sine iure[9]). οὐκοῦν εἰ μὴ παρανόμως εἴη ὁ φόνος, ἀκίνδυνος ὁ φονεύσας καὶ οὔποτε χώρα τούτῳ τῷ νόμῳ[10]). οἷον, ἡνίκα τὸν σὸν οἰκέτην ἀνέλω λῃστὴν ὄντα, οὐ κατέχομαι τῷ Aquilíῳ, ἀλλὰ τότε ἡνίκα τὸν ἐπαγόμενόν μοι παρ' αὐτοῦ κίνδυνον οὐχ ἑτέρως ἠδυνήθην ἐκκλῖναι, εἰ μὴ διὰ τῆς ἐπαχθείσης αὐτῷ παρ' ἐμοῦ πληγῆς. εἰ γὰρ δυνάμενος διαφυγεῖν τοῦτον[11]) ἀνεῖλον, κατέχομαι τῷ Aquilíῳ. 3. Οὐκ ἔστιν ὑπεύθυνος[12]) 3.
Aquilíῳ ὁ ἐκ τυχηρᾶς ἀνελὼν περιστάσεως[13]), ἡνίκα μὴ πρόσεστι ῥαθυμία τῷ γινομένῳ· οὐχ ἧττον γὰρ τοῦ δόλου τὸν κατὰ ῥαθυμίαν ἀνελόντα ὁ νόμος τιμωρεῖται. 4. Διὸ ἐάν τις ἐν 4.
τῷ παίζειν ἀκοντίοις ἢ καὶ γυμνάζεσθαι παριόντα τὸν σὸν οἰκέτην πλήξας ἀνεῖλεν, εἰ μὲν στρατιώτης ἦν ὁ τοῦτο ποιήσας ἐν τῷ κάμπῳ ἢ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα γυμνάζεσθαι τοῖς στρατιώταις σύνηθες, ἀνεύθυνος ὁ πλήξας· εἰ δὲ ἰδιώτης ἦν[14]) καὶ ἐν τούτῳ τῷ τόπῳ ἀνεῖλεν, ἐπειδὴ ἰδιώτης ἐν ὅπλοις γυμνάζεσθαι οὐ νενόμισται, ὑπεύθυνος ἔσται ὁ πλήξας τῷ Aquilíῳ. τὸ αὐτό φαμεν εἰ καὶ στρατιώτης ἐν τῷ[15]) τόπῳ, ἐν ᾧ μὴ σύνηθες γυμνάζεσθαι στρατιώτας παραπλήσιον ἥμαρ-

---

1) Ὅμ. ὁ ποι. L^6. 2) scr. M.: Μαρτιανὸς Vi. R. 3) —τὸν L^6. 4) —ῆσθαι L^6. 5) ita M. L^1. L^2. L^6. cum libris Homeri [Od. 13, 407 sq.]: cet. οἱ. 6) οὕτως L^1. L^2. F. 7) sine iure ins. F.: τούτεστι ins. M. L^1. L^2. L^6. F. 8) ad. ex Vi. R. 9) d. F.: sine iure L^1. Vi. R.: sine tutore M. L^2. L^6. 10) τῷ ν. τούτ. L^6. 11) τοῦτ. διαφ. L^2. 12) τῷ ad. omn. praet. M. 13) περ. ἀν L^6. 14) εἰ L^1. L^2. 15) d. Vi. R.

oues caprae. set etiam sues in pecudum appellatione continentur. nam id et poeta Homerus in Odyssia docet, sicuti Aelius Marcianus in suis Institutionibus refert hosce uersus commemorans:[1])

δήεις τόνγε σύεσσι παρήμενον· οἱ δὲ νέμονται
πὰρ κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ.

uerbum enim ‘νέμονται’ de his, qui gregatim pascuntur, usur-
2. patur. 2. Quod uero lex ait »iniuria occiderit« ita intellegemus, ut sine iure occiderit. itaque si non contra ius caedes facta est, extra periculum est qui occiderit, neque huic legi locus fit., et itaque si seruum tuum latronem occiderim lege aquilia non tenebor; utique si inlatum mihi periculum non aliter effugere potuerim, quam tali uulnere a me illi inlato. nam si, cum effugere possem, illum occidi, aquilia
3. tenebor. 3. Ac ne is quidem aquilia tenetur, qui casu occidit, si modo nulla culpa facto adcessit. non minus enim qui ex
4. culpa quam qui ex dolo occiderit lege punitur. 4. Itaque si quis, dum iaculis ludit uel exercitatur, transeuntem seruum tuum traiecit occiditque, si quidem miles fuit qui id fecit in campo eoue loco, ubi milites sese exercitare solent, occisor non tenetur: sin autem paganus fuit eoque in loco occidit, cum non soleant pagani in armis exercitari, aquilia occisor tenebitur. idem iuris esse dicimus de milite quoque, si in eo loco, ubi milites sese exercitare non solent, tale quid

[1]) Hom. Odys. 13, 407 sq.: latine interpretamur sic: „inuenies eum sedentem apud sues, quae pascuntur ad Coracis cliuum et ad fontem Arethusam“.

τεν· ὑποπεσεῖται γάρ[1] *τῷ* Aquiliῳ. 5.[a]) *Ἐάν τις κλαδεύων* 5.
ἐκ τοῦ δένδρου[2]) *κλάδου κατενεχθέντος τὸν ἐμὸν οἰκέτην*
παριόντα πλήξας ἐφόνευσε, κρατεῖται τῷ Aquiliῳ. *τοῦτο δὲ*
λέγομεν εἰ ταῦτα[3]) *γέγονεν ὁδοῦ*[4]) publicas *ἢ* uicinalias
ὑποκειμένης. ἔδει γὰρ αὐτὸν[5]) *ἐκβοῆσαι, ὥςτε πάντα παριόντα*
τὴν ἐσομένην φυλάττεσθαι πτῶσιν τοῦ κλάδου· τοῦτο γὰρ
ποιήσας προφάσει τῆς ῥαθυμίας ἤτοι cúlpas[6]) *ὑπεύθυνος*
ἔσται τῷ Aquiliῳ. *εἰ δὲ αὐτὸς μὲν ἐξεβόησε, τῆς δὲ τούτου*
βοῆς κατεφρόνησεν ὁ οἰκέτης, ἀνέγκλητος ὁ κλαδεύων[b]).
καὶ públiса *μέν ἐστιν ὁδὸς ἥτις καὶ* militaría[7]) *λέγεται*[8]),
παρὰ δὲ τοῖς ἕλλησι βασιλική, ᾗ πάντες ἄνθρωποι κέχρηνται
ἐπὶ διαφόρους ἀπιόντες τόπους. uicinalia *δὲ ἡ ἐπὶ κώμας*
ἄγουσα· uicus *γὰρ ἡ κώμη. διὰ ταύτης γὰρ*[9]) *βαδίζει*
πᾶς[10]) *ἐπὶ τὴν κώμην ἀπιών. εἰ μέντοι ἄπωθεν*[11]) *τῆς ὁδοῦ*
ἢ ἐν μέσῳ τυχὸν τοῦ ἀγροῦ ἐκλάδευεν, εἰ καὶ μὴ ἐξεβόησε,
πλὴν ἐπειδὴ ἐν τοιούτῳ γέγονε τόπῳ, ἐν ᾧ οὐδενὶ τῶν
ἐξωτικῶν ἐξουσία τοῦ βαδίζειν ἦν, ἀτιμώρητος ὁ πλήξας[12]).
6. *Ἰατρός τις τὸν ἐμὸν οἰκέτην φλεβοτομήσας κατέλιπεν* 6.
ἀθεράπευτον· τετελεύτηκεν ὁ οἰκέτης· ὁ Aquilios *ἁρμόσει*[13])
κατὰ τοῦ ἰατροῦ. 7. *Ἐπειδὴ δὲ εἰρήκαμεν τὸν* cúlpᾳ 7.
φονεύσαντα κατέχεσθαι τῷ Aquiliῳ, *εἰδέναι χρὴ ὅτι*[14]) *καὶ*[15])
ἡ ἀπειρία εἰς cúlpan *ἀνάγεται. οἷον, ἰατρόν τις ἑαυτὸν*[16])
εἶναι λέγων ἀτεχνῶς τὸν οἰκέτην τὸν σὸν ἀνεῖλεν, ἢ φάρμακον
αὐτῷ δέδωκεν οὐ δεομένῳ ἢ κατὰ καιρὸν οὐχ ἁρμόδιον.
8. ***Εἰ δὲ καὶ μουλίων ἐπικαθήμενος ὀχήματι τὴν τῶν ἡμιόνων*** 8.
ἐξ ἀπειρίας ὁρμὴν ἐπισχεῖν οὐκ ἠδυνήθη καὶ τὸν ἀλλότριον
ἀνεῖλεν οἰκέτην, ὡς ἀπὸ cúlpas *ἔνοχος ἔσται τῷ* Aquiliῳ. *εἰ*
δὲ καὶ ἐξ ἀσθενείας κρατῆσαι τῶν ἡμιόνων οὐκ ἴσχυσε, δυνατὸν
δὲ ἦν μᾶλλον ταύτας ὑφ' ἑτέρου εὐσθενοῦς ἐπισχεθῆναι, εἰς

---

1) d. L^6. 2) *τοῦ* ins. L^6. 3) M. Pi.: cet. *τοῦτο*. 4) *ἐν ὁδῷ* M. Pi. 5) d. F^2. 6) —pae R. 7) mittaria M. 8) *ἤτοι στρατιωτική* ins. L^2. 9) d. F^2. 10) *πᾶς βαδ.* L^1. L^2. L^6. 11) scr. ex cj. R.: cet. *ἄνωθεν*. 12) *ὁ πλ. ἀτ.* L^6. 13) M.: cet. —*ζει*. 14) *ὡς* Vi. R. 15) d. L^6. 16) *ἑαυτ. τις ἰατρ.* L^6.

a) schol. Bas. V 765. b) Ulpianus (Dig. 43, 8, 2, 22).

5. admiserit; nam in aquiliam incidet. 5. Si quis putans ex arbore, deiecto ramo, seruum meum transeuntem occidit, aquilia tenetur. id autem dicimus si prope uiam publicam aut uicinalem id factum est: proclamare enim debuerat, ut omnes transeuntes rami casum euitare possent. si uero id non fecerit, utpote culpae reus aquilia erit obnoxius. sin autem ipse proclamauit, seruus autem clamorem eius non curauit, extra culpam est putator. et publica quidem uel militaris uia est, quae apud Graecos 'βασιλική' appellatur, qua omnes homines diuersa loca petentes utuntur: uicinalis est, quae ad uicos ducit; uicus est autem id, quod graeci 'κώμην' uocant. per hanc autem transit quisque uicum petit. si tamen procul uia uel forte in medio fundo caederet, licet non proclamauerit, cum id in eiusmodi loco fieret, ubi nulli extraneo ius erat uersandi, non tenetur qui occidit.
6. 6. Medicus seruum meum secuit et sine curatione dereliquit. mortuus est seruus: actio aquiliae in medicum competit.
7. 7. Cum dixerimus eum, qui culpa occiderit, lege aquilia teneri, sciendum est imperitiam quoque culpae adnumerari: ueluti si quis, cum sese medicum profiteretur, seruum tuum per imperitiam occidit; forte quia ei medicamentum dedit, quod non fuerit dandum aut certe quod eo tempore dari non
8. oportuerit. 8. Si uero mulio, cum in uehiculo sederet, ex sua imperitia mularum impetum retinere non potuerit alienumque seruum occiderit, ex culpa lege aquilia tenebitur. set et si propter infirmitatem mulas retinere non potuerit, cum eas alius firmior potuisset retinere, aeque res mulionis

τὴν τοῦ μουλίονος cúlpan *ἀναχθήσεται*[1] *τὸ γεγονὸς καὶ γενήσεται χώρα τῷ* Aquilíῳ. *τὰ ἐπὶ τοῦ*[2] *μουλίονος εἰρημένα καὶ ἐπὶ ἱππέως ἕλκειν δυνάμεθα, εἴγε τὴν ὁρμὴν τοῦ ἵππου ἢ δι' ἀσθένειαν μὴ*[3] *δυνηθεὶς ἐπισχεῖν ἢ δι' ἄγνοιαν*[4] *αλλότριον ἀνεῖλεν οἰκέτην.* 9. *Ἑρμηνεύσαμεν τὰ πρῶτα ῥήματα* 9. *τοῦ νόμου. εἴπωμεν καὶ περὶ*[5] *τῶν ἑξῆς. λέγει ὁ νόμος·* quanti in eo anno plurimi fuerit[6]. *τί βούλεται ταῦτα τὰ ῥήματα*[7]*; καὶ λέγομεν ὡς διὰ τῶν εἰρημένων τῷ νόμῳ αὕτη ἀποτελεῖται ἡ ἔννοια, ἵνα ἐάν τις τὸν ἀλλότριον οἰκέτην χωλὸν ὄντα ἢ ἑτερόφθαλμον ἢ τῆς μιᾶς ἐστερημένος χειρὸς, ἀνέλῃ, τοῦτον δὲ συνέβαινεν ἐν αὐτῷ τῷ ἐνιαυτῷ καθ' ὃν ἐδέξατο τὴν πληγὴν ἀκέραιον εἶναι καὶ διὰ τοῦτο τιμιώτερον, εἰς τὸ ὀπίσω*[8] *ἑαυτὸν*[9] *ἀνακλῶν*[10] *ὁ*[11] *δικαστὴς τὴν τούτου ποιεῖται διατίμησιν. καὶ εἰ τυχὸν ὁ ἀναιρεθεὶς οἰκέτης ἀκέραιος ἢ*[12] *καὶ*[13] *ὑγιὴς ὑπῆρχε πρὸ ἐννέα ἢ δέκα ἢ καὶ ἕνδεκα μηνῶν καὶ διὰ τοῦτο πλείονος ἄξιος ἦν*[14]*, εἰς ἐκεῖνον τὸν χρόνον ἀνάγων τὴν διατίμησιν ποιεῖται τὴν καταδίκην. ἐκ τούτου δὲ κατασκευάζεται* poenalían[15] *εἶναι τὴν τοῦ* Aquilíu *ἀγωγήν· οὐ γὰρ μόνον εἰς τοσοῦτό τις καταδικάζεται, εἰς ὅσον ἐζημίωσεν, ἀλλ' ἐσθ' ὅτε καὶ πλέον. ἐντεῦθεν ὡμολόγηται κατὰ κληρονόμους*[16] *ταύτην τὴν ἀγωγὴν μὴ παραπέμπεσθαι ἅτε* poenalían. *εἰ γὰρ εἰς τοσοῦτο, εἰς ὅσον τις ἐζημίωσεν, ἔνοχος ἐγίνετο, ἀμάχως καὶ ὁ τούτου κληρονόμος τῇ αὐτῇ ὑπεβάλλετο ἀγωγῇ.* 10. *Καὶ ταῦτα μὲν ἐκ τῶν ῥημάτων ἐστὶ λαβεῖν, ἐκ* 10. *δὲ τῆς ἑρμηνείας ἣν ἐκ τῆς ἐννοίας ἀποτελεῖσθαι συμβαίνει τοῦ νόμου, ἀρέσκει οὐ μόνον τὴν τοῦ ἀναιρεθέντος οἰκέτου γίνεσθαι διατίμησιν*[17] *κατὰ τὰ εἰρημένα, τουτέστιν ἀνακλῶντος*[18] *ἑαυτὸν τοῦ δικαστοῦ, ἀλλὰ καὶ εἴ τι ἕτερον ἐκ τῆς τοῦ*

---

1) L^1. Vi. R.: *ἐναχθ.* L^2. L^6.: *ἐνεχθ.* M. L^2. 2) *δ.* Vi. R. 3) d. F. 4) *μὴ δυν. ἐπ.* h. l. L^6. 5) *ἐπὶ* L^6. F. 6) *τουτέστιν* [*ἤτοι* Vi. R.] *ὅσου ἐν* [d. L^1.] *τῷ αὐτῷ ἐνιαυτῷ πλείονος ὑπῆρχεν.* L^1. L^6. Vi. R. 7) d. L^2. 8) *γὰρ* L^2. L^6. F^1. 9) d. Vi. F^1. R. 10) *—καλῶν* Vi. R. *—κτῶν* L^2. 11) d. F. 12) *δ.* Vi. R. 13) d. L^6. 14) *ὑπῆρχεν* L^6. 15) scr. M. 16) *—ων* Vi. R. 17) *διατ. γίν.* Vi. R. 18) *καλοῦντος* Vi. R.

culpae adscribetur et legis aquiliae actioni locus erit. quae
de mulione diximus ad eum quoque, qui equo uehitur, trahere
possumus; si, cum impetum equi aut propter infirmitatem aut
propter imperitiam retinere non potuerit, alienum seruum
9. occiderit. 9. Interpretati sumus prima uerba legis, de ceteris
dispiciamus. ait lex: »quanti in eo anno plurimi fuerit«.
quid sibi uolunt haec uerba? et dicimus eiusmodi legis uerbis
hanc sententiam exprimi, ut si quis hominem alienum claudum
aut luscum aut mancum occiderit, qui in eodem anno, quo
uulnus acceperit, integer fuerit et ob id pretiosior, iudex ad
praeteritum tempus respiciens eius aestimationem inire debeat:
et si forte seruus, qui occisus est, ante nouem uel decem uel
etiam undecim menses integer fuerit et ideo maioris pretii,
litis aestimatione ad id tempus relata, reum condemnare
debeat; qua ratione efficitur poenalem esse legis aquiliae
actionem, quia non solum tanti quisque condemnatur, quantum
damni dederit, set aliquando pluris. ideoque constat actionem
in heredem non transire, cum poenalis sit. nam si quis tanti
obligaretur, quantum damni dedisset, sane heres eius eadem
10. actione teneretur. 10. Haec quidem ex legis uerbis intellegi
possunt: ex interpretatione autem, qua legis mentem adse-
quimur, placuit non solum hominis perempti aestimationem
habendam esse secundum ea, quae diximus, idest cum iudex

σώματος ἀναιρέσεως προςγέγονεν ἡμῖν ζημίωμα, καὶ τοῦτο διατιμηθῆναι χρή. οἷον τὸν ἐμὸν οἰκέτην τελευτῶν τις ἐνεστήσατο κληρονόμον· ἠδυνάμην τούτῳ κελεῦσαι προσελθεῖν τῇ κληρονομίᾳ[1]) καὶ ταύτην ἐμοὶ προσπορίσαι. πρὶν ἢ δὲ τοῦτο γένηται παρ' ἐμοῦ ἀνεῖλέ τις τοῦτον[2]) οἰκέτην. ἐπειδὴ ἀπολλύναι συμβαίνει μὲ[3]) τὴν κληρονομίαν, οὐ μόνον καταδικασθήσεται ὁ τοῦτον ἀνελὼν εἰς τὴν τοῦ σώματος διατίμησιν, ὡς προείρηται, ἀλλὰ καὶ εἰς τὴν τῆς κληρονομίας ἧς ἐξέπεσον[4]). παραπλήσιον καὶ ἐκ τούτου τοῦ θέματος ἀναφύεται. εἶχέ τις ζεῦγος μουλῶν, αἵτινες ἐοίκασιν ἀλλήλαις καὶ διὰ τοῦτο πλείονος ὑπῆρχον ἄξιαι. καὶ εἰ μέν τις τὰς δύο διετιμήσατο[5]), εἰς $\overline{ρν}$ νομίσματα ἡ διατίμησις αὐτῶν συνήγετο, εἰ δὲ κεχωρισμένως, $\overline{ν}$ νομίσματα ἑκάστης ἐγίνετο τίμημα. ἐὰν οὖν τις[6]) τὴν μίαν ἀνέλῃ, οὐ μόνον τῆς ἀναιρεθείσης τὴν διατίμησιν ἀλλὰ καὶ τῆς περιούσης παρέξει[7]) τῆς διατιμήσεως τὴν απομείωσιν τουτέστιν[8]) $\overline{ρν}$[9]) νομίσματα. τὸ αὐτὸ καὶ εἴ τις εἶχε τέθριππον, εἶτα ἕτερος ἀνεῖλε τὸν ἐν τούτοις ἀριστεύοντα, ὃς καὶ τίμιον ἐποίει τὸ τέθριππον· ἢ[10]) ἐκέκτητό τις κομῳδὸν καὶ τὸν τούτου ὑποκριτήν, ὁ δὲ ὑποκριτὴς ἐκόσμει τὸν κομῳδὸν καὶ θαυμαστὸν αὐτὸν ἐδείκνυε τοῖς ἀγῶσι συνῶν αὐτῷ[11]). ἀνεῖλέ τις τοῦτον τὸν ὑποκριτήν· ἐπ' ἀμφοτέρων τῶν θεμάτων ὁ ἀνελὼν οὐ μόνον τοῦ φονευθέντος τὴν διατίμησιν, ἀλλὰ καὶ τοῦ περιόντος παρέξει τὴν τῆς διατιμήσεως ἀπομείωσιν.

11. Τῷ δὲ τοῦ ἀναιρουμένου δούλου δεσπότῃ ἐξουσία δίδοται 11.
καὶ τὸ priuáton[12]) κινεῖν δικαστήριον, φημὶ τὸν Aquílion, καὶ τὴν προςγενομένην αὐτῷ[13]) θεραπεύειν ζημίαν. κινήσει δὲ πρὸς τούτοις τὸ públicon ἔγκλημα, τὴν Cornélion[14]) de sicariis, οὐδὲ γὰρ ἡ priuáta κινηθεῖσα ἀγωγὴ τὴν públican σβέννυσιν.

---

1) M.: τὴν κλ—αν cet. ὑπεισελθ. L^{6}.: ὑπελθ. Vi. R. 2) τοῦτ. τις Vi. F^{1}. R.: τὸν ad. L^{1}. L^{2}. L^{6}. 3) μοὶ Vi. F^{1}. R.: μὲ συμβ. F^{2}. 4) —σα L^{1}. F.: —σεν M. L^{6}. 5) ἐτιμ. L^{6}. 6) τούτων ins. L^{6}. F. R. 7) τὴν ins. L^{6}. 8) ἤγουν Vi. R. 9) M. Pi. L^{1}. L^{2}.: ἑκατὸν L^{6}. F.: $\overline{ρ}$ Vi. R. 10) M. cet. ἤγουν. 11) αὐτῷ συνῶν [—ιῶν L^{1}.] L^{1}. L^{2}. L^{6}. 12) pribaton M. 13) —ὸν L^{2}. 14) sor. M. τὴν Corneliam Vi. R.

praeteritum quoque tempus respiciat, set etiam quidquid praeterea, perempto eo corpore, damni nobis adlatum fuerit, id in aestimationem uenire. ut ecce: seruum meum moriens quidam heredem instituit, qui hereditatem meo iussu aditurus et mihi quaesiturus erat; antequam uero id fieret, aliquis hunc seruum occidit. quia idcirco hereditatem amitto, non solum qui occidit in corporis aestimationem, uti dictum est, condemnabitur, set etiam hereditatis, quam amisi. simile aliquid in hac quoque specie accidit. si quis iugum mularum, quae sibi inuicem similes essent et ob id maioris pretii, habuerit (nam si quis utramque aestimasset, $\overline{\text{CC}}$ aureorum earum aestimatio colligebatur; si uero alterutram, singulae $\overline{\text{L}}$ aureis aestimabantur), et quidam alterutram occiderit, non solum alterutrius occisae pretium, set tantum quoque praestabit, quanti quae superest depretiata est, idest aureos $\overline{\text{CL}}$ item si quis equorum habeat quadrigam, quorum praestantissimum quidam occidat, qui pretiosiorem totam quadrigam faciat; uel si quis comoedum habeat eiusque histrionem, qui illum exornet atque in ludis adsistens spectabilem reddat, et quidam hunc histrionem ei occidat; in utroque casu non occisi tantum aestimationem, set tantum etiam, quanti
11. depretiatus est, qui superest, praestabit. 11. Liberum est autem occisi serui domino priuato iudicio, idest legis aquiliae, agere et damnum sibi inlatum persequi. facere autem poterit praeterea publici criminis reum ex lege Cornelia de sicariis. non enim priuata actione inita publicam extinguit. hic

12. Ἐπέχει[1]) μέχρι τούτου τὸ πρῶτον κεφάλαιον. τὸ δὲ 12.
δεύτερον οὐκ ἔστιν ἐν χρήσει. 13. Ἐν[a]) δὲ τῷ τρίτῳ κεφαλαίῳ 13.
περὶ πάσης τῆς λειπομένης ζημίας[2]) ὁ νόμος διέξεισιν. διὸ ἐάν τις τὸν ἐμὸν οἰκέτην ἢ τὸ ἐμὸν τετράποδον, ὅπερ ἐν ἀριθμῷ τῶν pecúdωn ἐστὶ, τραυματίσῃ ἤγουν ἐκεῖνο τὸ τετράποδον, ὅπερ οὐ συναριθμεῖται τοῖς pecúdois[3]) οἷον κύνα ἢ θηρίον ἄγριον ἄρκτους ἢ λέοντας ἢ λύκους, ἀνείλῃ ἢ τραυματίσῃ, τῷ γ̄ ὑποβάλλεται κεφαλαίῳ τοῦ νόμου[4]). ἀλλὰ καὶ ἐπὶ πάντων τῶν λοιπῶν ζώων ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀψύχων ἡ προςγενομένη τῷ δεσπότῃ ζημία ἐκ τούτου θεραπεύεται τοῦ κεφαλαίου. λέγει γὰρ ὁ νόμος »si quid ustum aut ruptum aut fractum fuerit«[5]), ὥςτε ἁρμόζειν τὴν ἀγωγὴν τοῦ γ̄ κεφαλαίου. ἐκ περιττοῦ δὲ[5]) ταῖς δύο[6]) ὁ νόμος ἐχρήσατο λέξεσι, τῷ usto καὶ τῷ fracto[7]). ἡ γὰρ τοῦ ruptu[8]) προσηγορία πάσας ταύτας ἐξήρκει δηλῶσαι τὰς αἰτίας. rûpton γὰρ λέγομεν τὸ οἱῳδήποτε τρόπῳ διαφθαρὲν[9]). ὅθεν οὐ μόνον τὰ καυθέντα ἢ κλασθέντα, ἀλλὰ καὶ ἡ[10]) σχισθεῖσα ἐσθὴς καὶ τὰ συνθλασθέντα σκεύη[11]) ἤ, ὡς εἰώθασι λέγειν, διπλωθέντα (τί γὰρ ὅτι ἀργυρᾶ ἦν;) ἢ καὶ ὁ ἐκχυθεὶς οἶνος ἢ ἔλαιον καὶ ὅσα τοιαῦτα. καὶ τὰ οἱῳδήποτε τρόπῳ διαφθαρέντα[12]), ἀπολλύμενα[13]) ἢ χείρονα γεγονότα τῷ rúptῳ περιέχεται. ἀμέλει τοι εἴ τις εἰς τὸν ἐμὸν οἶνον κάλλιστον ὄντα ἢ εἰς τὸ ἐμὸν ἔλαιον πρωτεῖον[14]) ὑπάρχον, ἐνέβαλέ τι τοιοῦτο, δι' οὗ ἠφανίζετο τὰ τοιαῦτα, ὑποκείσεται τῷ τρίτῳ κεφαλαίῳ. 14. Ἐκεῖνο 14.

---

1) *Κατέχει* Vi. R., qui cj. *κατήχει*: *οὖν* ad. Vi. F. R. 2) ita M., cum antea *ζητήσεως* fuerit, manu tamen prima corr.: *ζητήσεως* cet. *ζημιώσεως* cj. R. 3) —*δίοις* L^1. L^2. 4) *τοῦ* V. *κεφ.* Vi. F. R. 5) *τουτέστιν ἐάν τι καυθῇ ἢ ῥαγῇ ἢ κλασθῇ.* ad. libri. ed. 5) *ὁ νόμ.* h. l. L^6. Vi. F. R. 6) *δυσι* L^6. 7) ita M.: —*ῳ* —*ῳ* L^1. L^2.: cet. —um —um. 8) M.: —*πτον* L^1. L^2. —tum L^6. —ti Vi. F. R. 9) *διαφθ. οἱ. τρ.* Vi. F. R. 10) d. L^1. F. 11) *ἤτοι* [*ἢ* Vi. R.] *καυθέντα* utpote glossema expunxi: de quo iam cj. R. 12) *ὅθεν οὐ μόνον* expunxi, Gaium (3, 217) secutus: cf. Rendic. Ist. Lomb. XVI 584. ceterum '*ὅθεν*' d. L^1. 13) *ἀλλὰ καὶ* ins. M. m. 2a. 14) —*εῦον* M. L^1. L^6. F.

a) Th. 4, 3, 13. 14 = schol. Bas. V 290.

12. autem caput prius explicit. 12. Caput autem secundum in
13. usu non est. 13. Capite autem tertio ceteras quaestiones
lex pertractat. itaque si quis seruum meum meamue quadrupedem, quae pecudum numero est, uulnerauerit, eamue quadrupedem, quae pecudum numero non est, ueluti canem feramue bestiam, ursos uel leones uel lupos, occiderit aut uulnerauerit, tertio capite legis tenetur. set in ceteris quoque animalibus item in ceteris rebus quae anima carent damnum domino inlatum ex hoc capite resarcitur. ait enim lex: »si quid ustum aut ruptum aut fractum fuerit«, actionem ex tertio capite constitui. superuacue autem duabus illis uocibus »ustum« et »fractum« lex usa est: rupti enim appellatio in omnes istas causas sufficere potest. ruptum enim dicimus id, quod quoquo modo corruptum est. unde non solum usta et fracta, set etiam scissa uestis, aut collisa uasa, quae uulgo apud graecos διπλωθέντα audiunt, (quid enim si argentea sint?) et effusum uinum aut oleum et cetera id genus. et quoquo modo uitiata perempta et deteriora facta, »rupti« significatione continentur. itaque si quis in uinum meum optimum oleumue meum praestantissimum id immiserit, quo
14. bonitas corrumperetur, ex hoc tertio capite tenebitur. 14. Illud

δὲ ὡμολογημένων ἐστὶν, ὥςπερ ἐκ τοῦ πρώτου κεφαλαίου τότε κατέχεταί τις τῷ Aquilíῳ, *ἐπειδὰν δόλῳ ἢ* cúlpᾳ *τὸν ἀλλότριον οἰκέτην ἢ τὸ* pécus *ἀνέλῃ, οὕτω καὶ ἐκ τοῦ τρίτου ὁ δόλος ἢ ἡ* cúlpa *ἐνάγεσθαι ποιεῖ τὸν ζημιώσαντα. οὐκοῦν κατὰ τοῦτο ἐοίκασιν ἀλλήλοις τὰ δύο κεφάλαια. ἐν ἐκείνῳ δὲ διήνοχεν ὅτι τὸ μὲν πρῶτον κεφάλαιον περὶ οἰκέτου ἢ* pecúdu[1]) *φησὶν ἀναιρέσεως*[2]), *τὸ δὲ τρίτον ποτὲ, νῦν δεύτερον, περὶ πάσης*[3]) *τῆς λειπομένης διαλαμβάνει ζημίας, καὶ οὐ μόνον ἐν*[4]) *τούτῳ, ἀλλὰ καὶ ἐν ἐκείνῳ, ὅτι ἐπὶ μὲν τοῦ πρώτου κεφαλαίου ἐπὶ ἐνιαυτὸν ὁ δικαστὴς ἑαυτὸν ἀνακλᾷ, ἐπὶ δὲ τῶν συμβαινόντων ἐκ τοῦ τρίτου κεφαλαίου ἐπὶ τριάκοντα ἡμέρας.* 15. *Κἀκεῖ μὲν πρόσκειται τὸ* 'plurimi', *ἐνταῦθα δὲ* 15. *σεσίγηται, ὡς ἐντεῦθεν παρρησίαν ἔχειν τὸν δικαστὴν εἰς ἐκείνην ἀναφέρειν ἐκ τῶν τριάκοντα ἡμερῶν τὴν ἡμέραν ἐν ᾗ ἐλάττονος ἄξιον ἦν*[5]) *τὸ πρᾶγμα καὶ χαρίσασθαι τῷ ἐναγομένῳ ἢ εἰς ἣν πλείονος ὑπῆρχε, καὶ ὠφελῆσαι τὸν ἐνάγοντα. ἀλλὰ κάλλιστόν φησιν ὁ* Sabînos *ὁμοίαν εἶναι*[6]) *ποιητέαν τὴν διατίμησιν, ὥςπερ εἰ κἀνταῦθα τὸ* 'plurimi' *προσέκειτο ῥῆμα. ὁ γὰρ ῥωμαϊκὸς χυδαῖος δῆμος κατὰ τὸν καιρὸν τῆς διαστάσεως τοῦ χυδαίου δήμου καὶ τῆς συγκλήτου, τοῦ* Aquiliu [*δήμαρχος δὲ οὗτος*[7])] *τὸν παρόντα νόμον τεθέντος, ἠρκέσθη τῷ* 'plurimi' *ῥήματι ἐν τῷ πρώτῳ κειμένῳ κεφαλαίῳ.* 16.[a]) *Κανόνι δὲ* 16. *γενικῷ δεῖ περιλαβεῖν πότε ὁ* directos[8]) Aquilios *ἁρμόσει, πότε δὲ ὁ* utilios, *καὶ τέως εἰδέναι χρὴ ὅτι ὁ νόμος ἑαυτὸν δίδωσιν, ἐπειδὰν ἀδικηθῇ σῶμα. ἀλλ' εἰ μὲν ἐκ σώματος ἡ βλάβη προςγένηται*[9]), *τυχὸν γὰρ*[10]) *ψιλαῖς ταῖς ἐμαυτοῦ χερσὶν ἢ μετὰ ξύλου ἢ λίθου ἢ ἑτέρου τινὰς ὀργάνου πλήξας ἀνεῖλον ἢ ἐτραυμάτισα,* directos *ὁ* Aquilios *ἁρμόσει*[11]). *εἰ δὲ σῶμα μὲν ἠδικήθη οὐκ ἀπὸ σώματος δὲ γέγονεν ἡ βλάβη,*

---

1) scr. M. L1.: *πεκούδου* L2.: cet. *—δων.* 2) *—ρεθέντος* L2. 3) *διαλαμβ.* h. l. Vi. F. R. 4) *ἐπὶ* hic. et mox Vi. R. 5) *ἦν ἄξ.* Vi. F. R. 6) *οἶμαι* M. L1. L2.: *εἶναι ὁμοίως* L2. 7) *δήμ. οὗτ. ἦν* Vi. R. 8) *ἤτοι ὄρθρος* L2. 9) M. L6.: cet. *—ήσεται.* 10) d. Vi. 11) *—ζει* L1. L2. L6. Bas. F.

a) schol. Bas. V 271.

uero palam est: sicut ex primo capite ita demum quisque lege aquilia tenetur, si dolo aut culpa alienum hominem pecusue occiderit, ita ex tertio capite ex dolo aut culpa eum, qui damnum dederit, teneri. in hoc igitur utraque capita conueniunt. in eo plane differunt, quod primum caput de homine pecudeue occisis loquitur, tertium autem (ut olim, nunc uero secundum) de ceteris damnis adlatis pertractat; in eo quoque differunt, quod ex primo capite quanti in eo anno res plurimi fuerit iudex aestimare debet, ex tertio autem
15. quanti in triginta diebus proximis. 15. Verbum autem »plurimi« quod illic adicitur, hic praetermittitur, ut uideatur liberum esse iudici utrum ad eum diem ex triginta proximis pretium referri uelit, quo res minimi fuerit et ita reo opitulari, an ad illum, quo res maximi fuerit, et ita actori fauere. set rectissime Sabinus ait perinde habendam aestimationem, acsi etiam hac parte »plurimi« uerbum esset adiectum. plebs enim romana, cum tempore dissensionis inter plebem et patres Aquilius hanc legem rogaret, contenta fuit, quod prima
16. parte id uerbum »plurimi« positum esset. 16. Generaliter autem definiendum est quando directa legis aquiliae actio competat, quando uero utilis. et ante omnia sciendum est ex lege actionem esse, si corpori damnum detur. set si quidem corpore damnum datum est (forte enim manibus nudis, aut ligno aut lapide, aut alio demum instrumento percutiens occisi, aut uulneraui), directa legis aquiliae actio competet. si uero corpori quidem damnum datum est, non

δίδοσθαι τὸν utilion Aquilion *χρή. οἷον τὸν ἐμόν τις οἰκέτην ἢ τὸ ἐμὸν* pecus *ἐνέκλεισεν ἐπὶ χρόνον*[1]*, ὥστε λιμῷ διαφθαρῆναι*[2]*, ἢ τὸ ἐμὸν ὑποζύγιον οὕτως ἤλασε σφοδρῶς, ὡς μὴ ἐνεγκεῖν τὸ πλῆθος τοῦ διαστήματος, ἀλλὰ διαρραγῆναι, ἢ τὸ ἐμὸν τυχὸν πρόβατον*[3]*) ἢ τὸν ἐμὸν βοῦν οὕτω τις διετάραξεν, ὡς ἐνεχθῆναι αὐτὸν*[4]*) κατὰ*[5]*) κρημνοῦ καὶ ἀπολέσθαι ἢ κατά τι βλαβῆναι, ἢ ἐάν τις τὸν ἀλλότριον οἰκέτην πείσῃ*[6]*) ἀνελθεῖν εἰς δένδρον ἢ κατελθεῖν εἰς φρέαρ, εἰδὼς δυσχερεστάτην καὶ ἐπικίνδυνον τὸν ἄνοδον ἢ τὴν κάθοδον εἶναι, εἶτα ὁ οἰκέτης ἀνιὼν ἢ κατιὼν ὠλέσθησε καὶ ἢ τετελεύτηκεν*[7]*) ἢ περί τι μέρος ἐβλάβη τοῦ σώματος. τί δὲ ὅτι ἀλλότριόν τις οἰκέτην ἀπὸ*[8]*) γεφύρας ἢ ὄχθης ἔρριψε κατὰ τοῦ ποταμοῦ, εἶτα οὗτος κατενεχθεὶς ἐν τῷ ὕδατι ἐπνίγη; ἐνταῦθα τὸν* directon[9]) Aquilion *διδόναι*[10]*) χρή· ὅς*[11]*) γὰρ ὤθησε τὸν οἰκέτην οἰκείῳ σώματι τὴν ἀναίρεσιν εἰργάσατο. εἰ δὲ μηδὲ σώματί τις ἔβλαψεν οὐδὲ σῶμά ἐστι τὶ ἀδικηθέν, ζημία δέ τις προσγέγονεν ἐμοί, ἀργοῦντος*[12]*) τοῦ* diréctu *ἐπειδὴ οὐκ ἀπὸ σώματος καὶ* utiliu *δὲ διὰ τὸ μὴ ἠδικῆσθαι*[13]*) σῶμα, ἤρεσε τὸν ζημιώσαντα*[14]*) ὑποπίπτειν τῇ* in factum[15])*. οἷον τὸν ἐμὸν οἰκέτην, ὡς ἁμαρτάνοντά τι δεσμοῖς περιέβαλον· τοῦτον ἕτερος οἴκτῳ καὶ φιλανθρωπίᾳ κινηθείς, εἰδὼς ὅτι ἐκφεύξεται*[16]*), λύσας ἀφῆκε τῶν δεσμῶν.*

---

[1]) *τοσοῦτον* ins. L². F. R. [2]) *διαφθ. λιμ.* L⁶. [3]) *πρόβ. τυχ.* L². [4]) —*τὸ* L¹. L². [5]) *τοῦ* ins. Vi. F¹. R. [6]) *ποιήσῃ* L⁶. [7]) ita M. F².: cet. *ἐτελεύτησεν*. [8]) ita M. L⁶.: cet. *οἰκ. τις*. [9]) d̥ F¹. [10]) *εἰδέναι* L⁶. [11]) *ᾧ* L⁶., quod fortasse praestat. [12]) *τοῦ σώματος* ins. M. Pi. [13]) *ἀδικηθῆναι* Vi. R. [14]) *τῷ —ντι* L⁶. [15]) *τῇ* fáctῳ M. [16]) *φεύξ.* Vi. R. *φύγῃ* Bas.

uero corpore, utilis legis aquiliae actio datur. ueluti: si quis seruum meum pecusue meum tamdiu incluserit, ut fame necaretur, aut iumentum meum tam uehementer egerit, ut itineris laborem non ferret ac rumperetur, aut si quis ouem meam uel bouem meum in tantum exagitauerit, ut praeceps fugeret atque periret uel laederetur, aut seruum alienum, ut in arborem ascenderet, persuaserit uel ut in puteum descenderet, probe sciens periculosum ascensum uel descensum esse, et seruus ascendendo uel descendendo lapsus aut mortuus sit aut certe aliqua parte corporis laesus. quid autem si quis seruum alienum de ponte aut ripa in flumen deiecerit, isque aqua immersus suffocatus sit? directam legis aquiliae actionem dari oportet, nam qui seruum proiecit suo corpore eum necauit. set si non corpore quis damnum dederit, neque corpus laesum fuerit, damnum autem aliquod factum est, cum non sufficiat directa actio, quia non corpore damnum datum est, neque utilis, quia nec corpus laesum fuit, placuit eum, qui damnum dederit, actione in factum teneri. ueluti si seruum meum utpote male uersatum in uincula conieci, et alius misericordia ductus, sciens illum euasurum, compeditum soluit.

De iniuriis[1]). Titulus 4.

Οὐκ ἐῶσι τοὺς ὑβριστὰς ἀτιμωρήτους οἱ νόμοι· γενικῶς δὲ iniuria[2]) *λέγεται πᾶν, ὅπερ*[3]) *μὴ κατὰ νόμον γίνεται,* quod non iure fit[4]). *ἰδικῶς δὲ λέγεται* 'contumelia' a 'contemnendo', *ἣν*[5]) *Ἕλληνες »ὕβριν« καλοῦσιν. λέγεται δὲ καὶ*[6]) 'culpa'[7]), *ὅπερ οἱ Ἕλληνες ἀδίκημα καλοῦσιν*[8]), *ὥςπερ ἐπὶ τοῦ* Aquiliu· *λέγομεν γὰρ*[9]) 'damnum iniuria'[10]), *τουτέστι ζημία ἡ ἀδίκως γινομένη*[11]). *ποτὲ*[12]) *δὲ*[13]) *λέγεται* iniquitas' *καὶ* 'iniustitia', *ἣν*[14]) *οἱ Ἕλληνες ἀδικίαν λέγουσιν. ὁπότε γὰρ ὁ* praetωr *ἢ ὁ δικαστὴς οὐ δικαίως κατά τινος ἀποφαίνεται, λέγομεν τὸν ἀδικηθέντα* iniuriam accepisse.

1. *Ἡ δὲ ὕβρις ἁμαρτάνεται οὐ*[a]) *μόνον ἔργῳ, ἀλλὰ καὶ λόγῳ.* 1.
καὶ ἔργῳ μὲν ὁπότε τις πὺξ ἢ ῥάβδοις ἢ ἱμάντι τυπτηθῇ, εἴτε conuicion[15]) *τις ὑποστῇ.* conuicion[16]) *ἐστιν, ἡνίκα τις ἐν ἐπισήμῳ τῆς πόλεως τόπῳ*[17]) *ὕβριν ἐπαγάγῃ μοι, ὥςτε καὶ ὄχλον ἐντεῦθεν συναχθῆναι. ἔργῳ δὲ*[18]) *γίνεται ἡ ὕβρις καὶ ἡνίκα τις εἰδὼς ὡς οὐδὲν αὐτῷ ἐποφείλω ἐπὶ νομὴν γέγονε τῶν ἐμῶν πραγμάτων ὡς δὴ δανειστής· λόγῳ δὲ*[19]) *ἐάν τις πρὸς ἐμὴν ὕβριν πεζὸν λόγον*[20]) *ἢ ἔμμετρον ἔπος ἔγραψεν ἢ συντέθεικεν κατ' ἐμοῦ ἢ ἐξέδωκεν*[21]) *ἢ οὐδὲν μὲν τούτων ἔπραξε, δόλον δὲ ἐποίησεν, ἵνα τι τούτων γένηται. ἕκαστος γὰρ τούτων κρατεῖται τῇ* iniuriarum, *οἷον* Prímos *ἔγραψεν ἔπος ὑβριστικὸν καθ' ἐμοῦ,* Secúndu *συνθέντος*[22]), Tértios *τοῦτο ἐκδέδωκε,* Qúartos *οὐδὲν μὲν τούτων*[23]) *ἔπραξε, δόλῳ*

---

1) *Περὶ ὕβρεως* ad. libri. ed. 2) *ὕβρις* M. 3) *ὃ* Vi. R. 4) *φιέριτ* L[6]. 5) *οἱ* ins. omn. praet. M. 6) add. ex. Vi. R. 7) *πταῖσμα* ad. L[2]. 8) *λέγουσιν* L[2]. 9) *δὲ* L[6]. 10) datum ad. Vi. R. 11) *λεγομένη* L[2]. 12) *τότε* M. 13) d. M. 14) ad. ex M. Vi. R. 15) conuincion M. [*—ίγκιον* L[1]. L[2].] *—ίκιον* F. R. *—ίτιον* Vi. 16) *δὲ* ins. Vi. R. 17) *τόπ. τῆς π.* 18) *καὶ* L[6]. F. 19) *ἢ ἐὰν* cet. M. 20) d. L[2].: *ἔγραψεν* h. l. Vi. F. R. 21) *ἐκδέδωκεν.* F. 22) ita M.: cet. *Σεκοῦνδος συνέθετο.* 23) *μὲν* h. l. Vi. R.

a) Ulpianus (Dig. 47, 10, 1, 1).

De iniuriis. Titulus 4.

Eos, qui iniuriam admittunt, iura impunitos non sinunt. generaliter iniuria dicitur omne quod non iure fit; specialiter alias »contumelia« a »contemnendo«, quam graeci ὕβριν appellant; alias dicitur »culpa«, quam graeci ἀδίκημα uocant, ueluti in lege aquilia. dicimus enim »damnum iniuria«, idest contra ius inlatum. alias dicitur »iniquitas« et »iniustitia«, quam graeci ἀδικίαν uocant. cum enim praetor uel iudex non iure contra quemdam pronuntiat,
1. dicimus eum, qui laesus est, »iniuriam accepisse«. 1. Iniuria autem committitur non re tantum, set etiam uerbis. et re quidem, cum quis pugno aut uirgis aut fustibus caesus sit, aut conuicium passus sit. conuicium est, cum quis in loco quodam urbis spectabili eiusmodi me adficiat contumelia, ut turba hominum concurrat. re quoque fit iniuria, si quis intellegens me ei nihil debere, bona mea, quasi creditor, possideat. uerbo autem fit iniuria, cum quis libellum scripserit carmenue composuerit ad meam infamiam, uel ediderit, aut nihil quidem eiusmodi fecerit, curauerit tamen dolo malo, ut quid horum fieret. nam isti omnes actione iniuriarum tenentur. ut ecce Primus ad meam infamiam carmen scripsit, Secundus composuit, Tertius edidit, Quartus nihil eiusmodi fecit, dolo autem suo curauit ut scriberetur

δὲ οἰκείῳ παρεσκεύασεν ἢ γραφῆναι ἢ συντεθῆναι ἢ ἐκδοθῆναι τὴν καθ' ἐμοῦ ὕβριν. εἰ δέ τις προϊούσῃ τῇ οἰκοδεσποίνῃ ἢ τῷ praetextátῳ ἢ τῇ praetextátῃ προϊούσῃ (τουτέστι[1]) τῷ νέῳ ἢ τῇ νέᾳ· οἱ γὰρ νέαν ἄγοντες τὴν ἡλικίαν τῇ praetextᾳ[2]) ἐχρῶντο[3]), φόρημα δὲ τοῦτο ῥωμαϊκόν), ἐὰν οὖν ἑνὶ τῶν προειρημένων προϊόντι παρακολουθῇ τις συνεχῶς μηδὲν[4]) φθεγγόμενος ἤγουν καὶ λέγων τι ἐπὶ τῷ τοὺς σώφρονας αὐτῶν διαστρέψαι τρόπους, κατέχεται τῇ iniuriarum. καὶ ἑτέροις δὲ πλείστοις τὴν ὕβριν ἁμαρτάνεσθαι τρόποις τῶν ὡμολογημένων ἐστίν. 2. Ὑφίσταται[5]) δέ τις ὕβριν οὐ μόνον δι' ἑαυτοῦ, 2.
ἀλλὰ γὰρ[6]) καὶ διὰ τῶν οἰκείων παίδων, οὓς ὑπεξουσίους ἔχει καὶ διὰ τῆς γαμετῆς[7])· τοῦτο γὰρ ἤρεσεν εἰ[8]) καί τινες ἐναντιώθησαν. ὥςτε οὖν τοῦ ἐμοῦ ὑβρισθέντος ὑπεξουσίου παιδὸς δίδοταί μοι ἡ[9]) iniuriarum, ἢ καὶ τῆς γαμετῆς. ἀμέλει ἐὰν ἡ ἐμὴ ὑπεξουσία θυγάτηρ γαμηθῇ Titiῳ, σὺ δὲ ταύτην ὑβρίσῃς καὶ αὕτη ἡ[10]) ὑβρισθεῖσα καὶ Titios ὁ αὐτῆς[11]) ἀνὴρ κἀγὼ δὲ ὁ[12]) πατὴρ ἕξομεν[13]) κατά σου τὴν iniuriarum. ἐκ δὲ[14]) τοῦ ἐναντίου, ἐὰν ὁ ἀνὴρ ὑβρισθῇ, ἡ γυνὴ τὴν iniuriarum οὐ δύναται κινεῖν, defendeúεσθαι γὰρ ὑπὸ τῶν ἀνδρῶν τὰς γυναῖκας, οὐ μὴν τοὺς ἄνδρας ὑπὸ τῶν γυναικῶν δίκαιόν ἐστιν. καὶ πενθερὸς δὲ τῆς νύμφης ὀνόματι τῆς γεγαμημένης τῷ ὑπεξουσίῳ αὐτοῦ παιδὶ[15]) ἀκωλύτως[16]) κινήσει τὴν iniuriarum. 3. Ἐὰν ὁ ἐμὸς οἰκέτης 3.
ὑβρισθῇ, οὐδεμία αὐτῷ ἀγωγὴ ἁρμόζει· ἐξ ὧν δὲ αὐτὸς ὑβρισθῇ, δοκῶ[17]) ἐγὼ ὁ δεσπότης ὕβριν ὑποστῆναι. ἀλλ' οὐχ οἵτινες τρόποι υἱοῦ ἢ γαμετῆς ὑβρισθέντων διδόασί μοι τὴν iniuriarum, οἱ αὐτοὶ καὶ ἐπὶ οἰκέτου. ἐπὶ γὰρ δούλου τότε

---

1) De gloss. suspicor. 2) —tátᾳ M. L1. L2. L6. 3) τὸ ad. L2. 4) —ενὶ M. 5) —το L2. 6) d. Vi. R. 7) ἐκ δὲ τοῦ ἐναντίου ἐὰν ὁ ἀνὴρ ὑβρισθῇ ἡ γυνὴ τὴν iniuriarum οὐ δύναται κινεῖν: haec uulgo olim addebantur et libri addunt. eicienda esse iam uidit F. (F2. 591). 8) d. M. 9) τῇ L6. 10) ad. ex M. L1. L2. 11) ταύτας Vi. R. 12) ταύτης ins. Vi. R. 13) —μοι Vi. 14) d. Vi. R. 15) παιδ. αὐτ. Vi. F. R. 16) —λούθως F. 17) αὐτός ins. L1. L2. F.

uel componeretur uel ederetur, quo ignominia adficerer. set et si quis matremfamilias in publico euntem aut praetextatum uel praetextatam (idest adulescentem uel puellam: qui enim iuuenilem aetatem agebant praetexta utebantur, quod romanorum uestimentum erat), adsectatus fuerit nil prorsus locutus, aut aliquid dicens, quo boni eorum mores corrumpi possent, iniuriarum actione tenebitur. et denique aliis pluribus modis
2. admitti iniuriam manifestum est. 2. Patitur autem quis iniuriam non solum per semet ipsum, set etiam per liberos suos, quos in potestate habet, et per uxorem suam. id enim praeualuit, licet quidam contra senserint. itaque si filio meo, quem in potestate habeo, iniuria facta sit, uel uxori meae, iniuriarum actio mihi dabitur. itaque si filia mea Titio nupta a te iniuriam passa sit, et ipsa, quae iniuriam accepit, et Titius eius uir, et ego pater iniuriarum actionem aduersus te habebimus. contra autem, si uiro iniuria facta sit, uxor iniuriarum agere non potest; defendi enim uxores a uiris, non uiros ab uxoribus aequum est. et socer nurus nomine, quae eius filio nupta est, quem in potestate habet, iniuriarum
3. recte aget. 3. Si seruus meus iniuriam patitur, nulla ei actio competit. set ea iniuria, quam ille passus est, ego dominus adfici intellegor. non tamen quibus modis filio uel uxore iniuria adfectis, actio mihi datur, isdem et seruo. per seruum enim tunc iniuriam pati uideor, cum aliquid atrocius in eum

ὑβρίζεσθαι δοκῶ, ἡνίκα σκαιόν τι κατ' αὐτοῦ ἐπλημμελήθη[1])
καὶ ὅπερ φανερῶς εἰς ὕβριν ὁρᾷ τοῦ θεσπότου· οἷον ἐάν τις
τὸν ἐμὸν οἰκέτην μαστίξῃ· ἁρμόζει γὰρ ἐπὶ τούτου τοῦ θέματος
ἡ iniuriarum. εἰ δέ[2]) τις conuicion ποιήσῃ τῷ ἐμῷ οἰκέτῃ
ἢ πὺξ αὐτὸν τυπτήσῃ, οὐδεμία μοι δίδοται ἀγωγή. 4. Ἐπί- 4.
κοινον εἶχον οἰκέτην μετὰ Titiu· ἐτύπτησας τοῦτον[3]). καὶ
ἐμοὶ καὶ Titίῳ ἡ iniuriarum ἁρμόζει καὶ οὐ καθ' ὅ[4]) μέρος
τοῦ οἰκέτου[5]) δεσπόζω ἡ τῆς ὕβρεως γίνεται διατίμησις.
ἀλλ' ἐκ τῆς ποιότητος τοῦ προσώπου ἑνὸς ἑκάστου τῶν
δεσποτῶν τὰ τῆς ὕβρεως κρίνεται. τί γὰρ εἰ ὁ μὲν[6]) συγκλητικὸς
τῶν δεσποτῶν[7]), ὁ δὲ ἰδιώτης; 5. Τοῦ αὐτοῦ οἰκέτου Titios 5.
μὲν εἶχε τὸν usúfructon, Maéuios δὲ τὴν proprietarian[8]).
ὕβρισας τοῦτον· ἔνοχος ἔσῃ τῇ iniuriarum μόνῳ τῷ Maeuíῳ.
6. Ἐλεύθερός τις ἐδούλευέ σοι[9]), bona fide. ὕβρισα τοῦτον 6.
ἐγώ· οὐχ ἁρμόσει σοι ἡ iniuriarum, αὐτῷ δὲ τῷ bona fide
δουλεύοντι δοθήσεται, ὥςτε αὐτὸν suo nomine[10]) ταύτην
κινεῖν[11]). ταῦτα δὲ λέγω, εἰ μὴ ἄρα σαφῶς διὰ τὴν εἰς σὲ
καταφρόνησιν ὑβριστικῶς αὐτῷ προσῆλθον. τότε γὰρ κατά
σοι δοθήσεται ἡ[12]) iniuriarum. τὸ αὐτό φαμεν καὶ ἡνίκα ἀλλό-
τριος οἰκέτης bona fide σοὶ ἐδούλευεν. ὑβρισθέντος γὰρ αὐτοῦ,
τηνικαῦτα δοθήσεταί σοι ἡ iniuriarum, ἡνίκα ἀποδείξῃς διὰ[13])
τὴν εἰς σὲ καταφρόνησιν πεπρᾶχθαι ταῦτα. 7. Ἡ δὲ τῆς[14]) 7.
iniuriarum ποινὴ ἐκ τοῦ δωδεκαδέλτου νόμου, εἰ μὲν μέλος[15])
τινὸς ἐρράγῃ, ταυτοπάθεια ἦν· τὸ αὐτὸ γὰρ ὑφίστατο ὁ μέλος
ῥήξας τινός. εἰ δὲ ὀστοῦν ἔκλασεν, εἰς χρήματα ἐγίνοντο αἱ
καταδίκαι. καὶ ἦν ἀφόρητον τοῦτο[16]) τοῖς παλαιοῖς διὰ τὴν
προσοῦσαν αὐτοῖς πενίαν. μετὰ δὲ ταῦτα οἱ praétores,
ἀναιρεθείσης τῆς ἀπὸ τοῦ δωδεκαδέλτου ἐπινενοημένης, τοῖς
ὑβρισθεῖσιν ἐπέτρεπον τὸ[17]) διατιμήσασθαι τὴν ὕβριν, ἣν

1) οἰκ. μ. Vi. F. R. 2) δὲ ins. L6. 3) αὐτόν Vi. R.
4) καθὰ F. 5) δούλου L6. 6) μέντοι L1.: ἐστὶ ins. L1. L2. L6. Vi. R. 7) d. F. 8) δεσποτείαν Vi. R. 9) d. Vi. 10) οἰκείῳ ὀνόματι ins. L2. 11) κιν. ταύτ. Vi. F. R. 12) d. L6. F. 13) d. L6.
14) ἡ ins. M. 15) μέρος L6. 16) τοῦτ. ἀφ. Vi. F. R. 17) ita ex cj. R.: ἐπετρέποντο Vi.: cet. ἐπέτρεπον διατ.

commissum fuerit, et quod aperte ad contumeliam domini
spectat. ueluti si quis seruum meum uerberauerit; in hoc
enim casu iniuriarum actio competit: at si quis seruo meo
conuicium fecerit aut pugno eum percusserit, nulla mihi actio
4. datur. 4. Communem seruum cum Titio habueram; tu eum
uerberasti. et ego et Titius iniuriarum agere possumus;
neque pro ea parte, qua ego dominus sum, set ex qualitate
utriusque domini personae iniuria aestimatur: quid enim si
5. alter senator, alter plebeius sit? 5. Eiusdem serui Titius
usumfructum habebat, Maeuius dominium. ei fecisti iniuriam;
6. Maeuio soli iniuriarum obnoxius eris. 6. Cum liber homo
tibi bona fide seruiret, ego eum iniuria adfeci. non competet
tibi iniuriarum actio, set ipsi, qui bona fide seruierit, dabitur,
ut ipse suo nomine experiatur. id uero dico, nisi aperte in
tuam contumeliam ei iniuriam feci, tunc enim etiam tibi actio
iniuriarum dabitur. idem dicimus et si alienus seruus bona
fide tibi seruiat; nam si iniuria adficiatur tibi totiens
iniuriarum dabitur actio, quotiens ostendere possis in tuam
7. contumeliam id factum esse. 7. Poena autem iniuriarum ex
lege XII tabularum propter membrum quidem ruptum talio
erat (idem enim patiebatur qui membrum rupisset); propter
os uero fractum nummariae fiebant condemnationes. et id
grauius erat in magna ueterum paupertate. set postea
praetores, poena, quae XII tabulis introducta fuerat, sublata,
ipsis qui iniuria sunt adfecti permiserunt iniuriam, quam

ὑπέστησαν, ὅσης βούλοιντο[1]) *ποσότητος καὶ*[2]) *τυχὸν αὐτὸς ὁ ὑβρισθεὶς ἔλεγεν, ὅτι· »διατιμῶμαι τὴν ὕβριν ἣν ὑπέστην νομισμάτων ἑκατόν*[3]). *καὶ ὁ τῆς* iniuriarum *ἀκροώμενος ποτὲ μὲν εἰς τοσοῦτον κατεδίκαζε*[4]), *τουτέστι*[5]) *εἰς τὰ ἑκατόν, ποτὲ δὲ εἰς ἐλάττονα ποσότητα τὴν καταδίκην ἔφερεν, ὡς ἂν αὐτῷ δίκαιον ὤφθη. ἀλλ' ἡ μὲν ὑπὸ τοῦ δωδεκαδέλτου εἰσενεχθεῖσα ποινὴ εἰς ἀσυνήθειαν ἐχώρησεν. ἡ δὲ ὑπὸ*[6]) *τῶν* praetórων *ἐπινοηθεῖσα ἐν τοῖς δικαστηρίοις συνεχής ἐστιν. κατὰ γὰρ τὸν βαθμὸν τοῦ ἀξιώματος καὶ τὸ ἀξιόπιστον τῆς πολιτείας τοῦ ὑβρισθέντος ποτὲ μὲν αὔξει ποτὲ δὲ μειοῦται ἡ τῆς ὕβρεως διατίμησις. ἔσθ' ὅτε γὰρ ἡ αὐτὴ ὕβρις ὑπὸ τοῦ αὐτοῦ προςφέρεται συγκλητικῷ ἀνδρὶ καὶ ἰδιώτῃ σεμνῶς ἢ καὶ ἀσέμνως*[7]) *πολιτευομένῳ. τοῦ μὲν συγκλητικοῦ λόγου χάριν ἡ ὕβρις διατιμηθήσεται ἑκατὸν πεντήκοντα νομισμάτων, τοῦ δὲ σώφρονος ἰδιώτου ἑκατόν, τοῦ δὲ ἀσέμνου πεντήκοντα. οὗτοι δὲ*[8]) *οἱ τῶν διατιμήσεων βαθμοὶ σώζονται καὶ ἐπὶ οἰκετῶν ὑβρισθέντων. ἑτέρως μὲν γὰρ διατιμηθήσεται ἡ ὕβρις, ἐὰν τὸν διοικητὴν οἰκέτην πάσης μου τῆς οὐσίας*[9]) *ὑβρίσῃς καὶ ἑτέρως ἡνίκα ὑβρίσῃς τὸν οἰκέτην μου, ᾧ μίαν ἐνεχείρισα φροντίδα, τυχὸν διοικητὴν αὐτὸν ποιήσας τῶν ἐν τῷδε τῷ*[10]) *τόπῳ διακειμένων μου κτημάτων· ἄλλως δὲ ἐπὶ τοῦ εὐτελεστάτου*[11]) *καὶ*[12]) *ἐν δεσμοῖς ὄντος οἰκέτου.* 8. *Οὐκ*[a]) *ἠμέλησεν* 8. *οὐδὲ ὁ* Cornélios *νόμος περὶ ὕβρεων*[13]) *διαλεχθῆναι*[14])· *ἐπενόησε γὰρ καὶ αὐτὸς τὴν* iniuriarum, *ἥτις ἁρμόζει ἐὰν ἐλεύθερος λέγει ἑαυτὸν ὠσθῆναι*[15]) *ἢ τυπτηθῆναι ἢ ὅτι βίᾳ εἰσῆλθέ τις*[16]) *εἰς τὸν αὐτοῦ οἶκον. τὸν δὲ αὐτοῦ οἶκον νοοῦμεν,*

---

1) *βούλονται* M. L^1. L^2. Vi. R. 2) d. F. 3) *ὁκ. ν.* L^1. L^2. Vi. F. R. 4) *—ετο* Vi. 5) *ἤγουν* L^6. 6) *ἐπὶ* Vi. R. 7) haec de. L^1. L^2. L^6. Vi. F^1.: M. satis h. l. confusus est. Cet. *πολ. ἀσ.* F^2.: ego *ἀσ. πολ.* cum R scribere malui, praesertim cum M. suffragari uideatur. 8) d. Vi. R. 9) *περιουσίας* L^6. Vi. R.: *πάσ. τῆς οὐσ. μου* L^1. 10) d. L^1. F^2. 11) *ἀτελ.* Vi. 12) *ἢ* L^1. F. 13) M.: cet. *—ως*. 14) *οὐδὲ ὁ κ. νόμ. π. ὕβρ. διαλ. ἠμ.* Vi. R. 15) *ὠθηθῆναι* Bas. L^6. 16) *τις εἰς.* Vi. F^1. R.

a) schol. Bas. I 381.

passi sunt, tanti aestimare, quanticumque uellent. forte enim dicebat is qui iniuriam passus fuerat: 'iniuriam mihi inlatam C aureis aestimo'. et qui de ea re cognoscebat modo tanti condemnabat (idest in C aureos), modo minoris, prout ipsi aequum uideretur. set poena, quae ex lege XII tabularum est introducta, in desuetudinem abiit; ea autem, quam praetores introduxerunt, in iudiciis frequentatur. nam secundum gradum dignitatis uitaeque honestatem eius, qui iniuriam passus est, modo crescit modo minuitur iniuriae aestimatio. fieri enim potest ut eadem iniuria ab eodem inferatur senatorio uiro, uel plebeio honeste aut etiam inhoneste uiuenti; senatorii uiri iniuria aestimabitur uerbi gratia CL aureis, plebeii honeste uiuentis C, inhonesti autem L. hi autem aestimationis gradus in seruis quoque iniuria adfectis seruantur; aliter enim aestimabitur iniuria si eam seruo feceris, cui totorum bonorum meorum administratio credita sit, et aliter, si eum seruum iniuria adfeceris, cui unius rei tantum curam commiserim, ueluti praediorum meorum, quae in quadam regione sunt; et aliter demum in uilissimo uel
8. compedito seruo. 8. Set ne lex quidem Cornelia de iniuriis tractare neglexit. lege enim Cornelia quoque iniuriarum actio introducta est, quae competit, quotiens liber homo dicat se pulsatum uerberatumque domumue suam ui introitum esse. 'domum' autem accipimus, siue in propria

εἴτε[1]) ἐν ἰδίᾳ ᾤκει οἰκίᾳ[2]), εἴτε μισθῷ[3]), εἴτε προῖκα, εἴτε ὡς ξένος ὑπό τινος[4]) ἐδέχθη. 9. Τραχεῖα δὲ ὕβρις κινεῖται ἢ 9.
ἀπὸ πράγματος ἢ ἀπὸ τόπου ἢ ἀπὸ προσώπου. ἀπὸ πράγματος, οἷον ἐάν τις ὑπό τινος δέξηται τραύματα[5]) ἢ ῥάβδοις τυπτηθῇ· ἀπὸ τόπου, οἷον ἐάν τις ἐν θεάτρῳ ἢ ἐν τῇ[6]) ἀγορᾷ ἢ ἐπ' ὄψεσι τοῦ praétoros ὕβριν ὑποστῇ. ἀπὸ προσώπου, οἷον ἐὰν[7]) ἄρχων ὑβρισθῇ ἢ ἐὰν συγκλητικὸς[8]) ἀπὸ εὐτελοῦς τινος[9]) ὕβριν ὑποστῇ ἢ τοὺς ἀνιόντας οἱ παῖδες ἢ τοὺς πάτρονας ὑβρίσωσιν οἱ ἀπελεύθεροι. ἑτέρως γὰρ[10]) ἡ τοῦ συγκλητικοῦ καὶ[11]) τοῦ γονέως καὶ[12]) τοῦ πάτρονος, ἑτέρως δὲ ἡ τοῦ ἔξωτικοῦ καὶ εὐτελοῦς προσώπου ὕβρις διατιμᾶται. ἔσθ' ὅτε δὲ[13]) καὶ τόπος πληγεὶς τραχεῖαν ἀποφαίνει τὴν ὕβριν· οἷον ἐάν τις τὸν ὀφθαλμὸν πληγῇ. οὐ διαφέρομαι δὲ πότερον αὐτεξουσίῳ ἢ ὑπεξουσίῳ ἡ τοιαύτη ὕβρις[14]) προσηνέχθη[15]), ἐπὶ πάντων γὰρ[16]) τραχεῖα ὕβρις νομισθήσεται.

10. Ὡς ἐν τέλει δὲ ἰστέον ὅτι[a]) δέδοται παρρησία τῷ ὑβρι- 10.
σθέντι, εἴτε[17]) βούλεται ἐγκληματικῶς κινεῖν τὴν iniuriarum, εἴτε[18]) χρηματικῶς ἤτοι πολιτικῶς. καὶ εἰ μὲν πολιτικῶς ταύτην κινήσῃ[19]) καὶ ἡ διατίμησις τῆς ὕβρεως κατὰ τὰ εἰρημένα γενήσηται, καὶ ἡ[20]) εἰς τοιοῦτον[21]) καταδίκη ἐπιτεθήσεται· εἰ δὲ[22]) ἐγκληματικῶς, officion ἔσται τοῦ δικαστοῦ, ὥςτε ἔξωθεν ἣν βούλεται ποινὴν ἐπαγαγεῖν τῷ ὑβρίσαντι, τυχὸν ἐξορίαν ἢ εἰς μέρος δήμευσιν. φυλαττέσθω δὲ πανταχοῦ τὸ εἰσενεχθὲν ὑπὸ[23]) διατάξεως τοῦ βασιλέως[24]) Ζήνωνος, ὥςτε τοῖς illustriois καὶ τοῖς μείζοσι κατὰ τὸ ἀξίωμα ἐξεῖναι διὰ procuratórων τὴν iniuriarum ἐγγυμνάζειν ἐγκληματικῶς, καίτοι διὰ

---

1) ᾤκει h. l. F. 2) ᾤκει h. l. L^2. L^6. Vi. R. 3) —σθοῖ Vi. R. 4) d. Vi. R. 5) —μα F. 6) d. Vi. R. 7) ὁ ins. Vi. R. 8) τις ad. Vi. F^1. R. 9) δ. Vi. R. 10) δ. Vi. F^1. R. 11) ἡ ins. Vi. R. 12) ἡ ins. Vi. R. 13) δὲ ins. Vi. R. 14) ὕβρ. αὕτη Vi. R. 15) προς. ὕβρ. L^1. L^2. L^6. 16) δ. Vi. 17) εἰ L^6. Vi. R.: d. L^2. 18) ita scr. pro uulg. ἤ. 19) —σαι M. 20) ad. M. L^6. 21) ἡ F^1. R. 22) καὶ ins. L^6. 23) τῆς ins. L^2. F. 24) M.: cet. τῆς θείας λήξεως.

a) schol. Bas. I 362. 370. 382.

domo quis habitet, siue in conducta, uel gratis siue hospitio
9. ab aliquo receptus sit. 9. Atrox iniuria aestimatur uel ex facto uel ex loco uel ex persona. ex facto, ueluti si quis ab aliquo uulneratus fuerit, uel fustibus caesus: ex loco, ueluti si quis in theatro uel in foro uel in conspectu praetoris iniuriam sit passus: ex persona ueluti si magistratus iniuriam sit passus, uel senatori ab humili iniuria facta sit, aut parentibus a liberis aut patronis a libertis. aliter enim senatoris et parentis patronique, aliter extranei et humilis personae iniuria aestimatur. nonnumquam et locus uulneris atrocem iniuriam facit, ueluti si in oculo quis percussus fuerit. neque interest utrum patrifamilias an filiofamilias talis iniuria facta sit; in omnibus enim atrox aestimabitur.
10. 10. In summa autem sciendum est posse eum, qui iniuriam est passus, uel criminaliter agere uel ciuiliter. et si quidem ciuiliter agat, iniuriae aestimatio secundum quod dictum est fiet et in tantum condemnatio fiet: sin autem criminaliter, officium est iudicis quamlibet extraordinariam poenam reo inrogare, ueluti relegationem aut bonorum partis publicationem. ubique autem seruandum est, quod constitutione Zenonis diuae memoriae est introductum, ut nempe uiri illustres quique dignitatis superiores sunt, possint per procuratores iniuriarum criminaliter agere, licet reum criminis per procura-

procurátoros[1]) ἔγκλημα κινεῖν κεκώλυταί τις. διὰ procuratórωn[2])
δὲ ἐξέστω τοῖς εἰρημένοις ὑποδέχεσθαι[3]) τὴν iniuriarum, καθὸ[4])
τῇ αὐτῇ περιέχεται διατάξει. σαφέστερον δὲ πάντα μαθεῖν
δυνατὸν ταύτην ἀναγνόντα τὴν[5]) διάταξιν. 11. Οὐ μόνον 11.
δὲ ὁ τυπτήσας με τῇ iniuriarum κρατεῖται, ἀλλὰ κἀκεῖνος,
οὗ κατὰ δόλον τοῦτο γέγονεν ἢ ὅς ἐσπούδασε τυπτηθῆναί[6])
με. 12. Ἡ iniuriarum ἀποσβέννυται τῇ παραπροςποιήσει[7]). 12.
ὅθεν ἐάν τις ὑβρισθεὶς καταφρονήσῃ τοῦ γενομένου, τουτέστι μὴ ἀγανακτήσας[8]) ἐπὶ τῷ πραχθέντι μηδὲ ὡς δεινὸν τοῦτο δέξηται, κατὰ τὸν οἰκεῖον λόγον[9]) ἅμα τῷ ὑβρισθῆναι, μετὰ[10]) ταῦτα[11]) ἐκ μεταμέλου[12]) τὴν συγχωρηθεῖσαν ὕβριν οὐ δύναται κινεῖν.

De obligationibus quae quasi ex delicto nascuntur[13]).
Titulus 5.

Εἰπόντες τὰς ἀπὸ delictωn ἀγωγάς, εἴπωμεν καὶ τὰς ὡσανεὶ ἀπὸ delictωn. ἐμοὶ καὶ Titiῳ ἐδίκαζε Maéuios· ἠδίκησέ[14]) με, τυχὸν γὰρ μηδέν με ἐποφείλοντα[15]) κατεδίκασε, καὶ τὸ λεγόμενον παρὰ τοῖς νομικοῖς litem[16]) suam ἐποίησε, τουτέστι καθ' ἑαυτοῦ δίκην ἤγειρεν. σκοπῶμεν[17]) ἄρα τὸ τοιοῦτον cóntracton ἐστὶν ἢ quasi cóntracton ἢ délicton. καὶ τέως cóntracton οὐκ ἔστι· τὸ γὰρ cóntracton τῶν δύο τὴν συναίνεσιν ἀπαιτεῖ, οὐ κατὰ συναίνεσιν δὲ ἐμὴν ἠδίκησέ με ὁ δικαστής. οὐδὲ quasi cóntracton· τὸ γὰρ quasi cóntracton

---

1) M. Vi. R.: cet. —όρων. 2) —τορος Vi. R. 3) μόνον ins. L^6. 4) —θὰ L^6. F^1. R. 5) d. Vi. F^1. R. 6) τυφθῆναι Vi. F. R. 7) προσπ. Vi. R. 8) —ήσῃ Vi. R. 9) λογισμόν omn. praet. M. Vi. R. 10) δὲ ins. M. Pi. 11) τηνικαῦτα Vi. R. 12) —είας Vi. R. 13) Περὶ ἀγωγῶν [ἐνοχῶν Vi. R.] τῶν ὡσανεὶ [d. L^6.: ὡς L^1. L^2.] ἀπὸ ἁμαρτίας φυομένων ad. libri. ed. 14) —ηκε Vi. R. 15) με h. l. Vi. R. 16) φιλονεικίαν αὐτοῦ ins. L^2. 17) —οῦμεν L^1. L^2. Vi.: εἰ ins. L^1.

torem facere nemo possit. per procuratores autem liceat ipsis iniuriarum actionem suscipere, sicuti eadem constitutione cautum est. manifestius autem haec omnia ei apparebunt,
11. qui hanc legerit constitutionem. 11. Non solum qui me percussit iniuriarum tenetur, set ille quoque, cuius dolo id
12. factum est, qui scilicet curauit ut percuterer. 12. Iniuriarum actio dissimulatione aboletur. et ideo si quis iniuriam passus eam parui fecerit, h. e. ob id quod factum est non sit indignatus neque id aegre sua mente tulerit cum ea adficeretur, postea ex poenitentia remissam iniuriam non poterit recolere.

De obligationibus quae quasi ex delicto nascuntur. Titulus 5.

Cum de actionibus locuti simus, quae ex delicto nascuntur, uideamus de iis, quae quasi ex delicto nascuntur. cum inter me ac Titium Maeuius cognosceret, iniuriam mihi fecit; forte enim me nihil debentem condemnauit. et hoc est, quod apud iure consultos dicitur: »litem suam fecit«. dispiciamus an id contractus sit, an quasi contractus, an delictum? et primum contractus non est; contractus enim duorum consensum requirit, non autem meo consensu iudex mihi iniuriam fecit: neque quasi contractus, nam quasi con-

εἰ καὶ μὴ τῶν δύο τὴν[1]) *συναίνεσιν ἀπαιτεῖ, ἀλλ' οὖν ὀφείλει παρρησίαν ἔχειν ἐκ νόμων εἰς τὸ γίνεσθαι, ὅπερ ἐστὶν ἐπὶ τῆς* negotiorum gestorum. *ἀργεῖ δὲ οὗτος ὁ λόγος ἐνταῦθα· οὐδεμία γὰρ δέδοται παρρησία τῷ δικαστῇ ἀδικεῖν ὃν βούλεται τῶν δικαζομένων. ἀλλ' οὔτε* délicton *τοῦτο· ἔσθ' ὅτε γὰρ ἐξ ἀπειρίας τοῦ δικάζειν, οὐ κακῇ διανοίᾳ, τοῦτο ἔπραξεν. ὅθεν ἐπειδὴ ἥμαρτέ τι ὁ δικαστὴς ὡς ἀπὸ τοῦ* quasi delictu *κατέχεται καὶ εἰς τοσοῦτον καταδικάζεται εἰς ὅσον ἂν δοκιμάσῃ ὁ δικάζων αὐτῷ καὶ τῷ ἀδικηθέντι χρῆναι αὐτὸν*[2]) *ποινῆς λόγῳ καταβάλλειν· τῷ γὰρ βλαβέντι ἢ*[3]) in factum *ἁρμόζει.* 1. *Ὑπὸ* 1.
τὸ[4]) quasi délicton *ἀνάγεται κἀκεῖνο τὸ θέμα. ἔμενον ἐγὼ ἔν τινι οἰκίᾳ, ἧς ὑπῆρχον δεσπότης, ἢ καὶ μισθῷ*[5]) *ταύτην εἶχον ἢ προῖκα· ἔρριψέ τις ἐντεῦθεν λίθον ἢ κέραμον ἢ ἐξέχεεν ὕδωρ καί τις τῶν παριόντων ἐβλάβη· ἐναχθήσομαι ἐγὼ τῇ* in factum. *διὰ τοῦτο δὲ οὐ*[6]) *κυρίως* délicton *τοῦτό ἐστιν, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ἑτέρου*[7]) *πταῖσμα, οἰκέτου τυχὸν ἢ καὶ*[8]) *ἐλευθέρου συνοικοῦντός μοι καὶ ταῦτα ποιήσαντος ἐγὼ κρατοῦμαι. ἔοικε τούτῳ τῷ θέματι κἀκεῖνο. ᾤκουν ἐγὼ ἐν τῇδε τῇ οἰκίᾳ, αἱ δὲ θυρίδες αἱ ἐμαὶ ἑώρων εἰς τόπον*[9]) *δημόσιον, δι' οὗ τοῖς βουλομένοις ἐξῆν παριέναι*[10]). *ἐν τῇ θυρίδι τῇ ἐμῇ ἐτέθη τι ἤγουν ἐκρεμάσθη, ὅπερ καταπεσὸν*[11]) *ἠδύνατο τὸν παριόντα βλάψαι. ἔστι δὲ ποινὴ δέκα νομισμάτων*[12]) *ἐν τούτῳ τῷ θέματι, ἐν δὲ τῷ προλαβόντι, ἔνθα ἐρρίφη τι ἢ ἐξεχύθη, τὸ διπλάσιον τῆς ζημίας ἣν ὁ βλαβεὶς ὑπέστη. εἰ δὲ ἐλεύθερος παριὼν ἐντεῦθεν ἐφονεύθη, εἰς πεντήκοντα νομισματά ἐστιν ἡ καταδίκη· εἰ δὲ ζῇ*[13]) *μὲν, βέβλαπται*[14]) *δὲ, εἰς τοσοῦτον καταδικασθήσεται ὁ ἐν τῇ οἰκίᾳ μένων, ἐξ ἧς ταῦτα γέγονεν, εἰς ὅσον ἂν συνίδῃ ὁ δικάζων χρῆναι αὐτὸν καταδικασθῆναι. ὀφείλει γὰρ ὁ δικαστὴς συμψηφίσαι*[15]) *τὸν τοῖς ἰατροῖς παρεχόμενον μισθὸν καὶ τὰ*

---

1) ad. ex L^1. L^2. Vi. R. 2) —*τῷ* Vi. 3) d. L^2. F. 4) *τοῦ* Vi. 5) —*σθοῦ* Vi. R. 6) *οὐδὲ* Vi. 7) *ἕτερον* M. 8) d. Vi. R. 9) *εἰς τόπ. ἑώρ.* L^6. 10) *ἦν παρ. ἐξῆν* ita L^2. 11) ex cj. R.: cet. *καὶ πεσὸν.* 12) M.: cet. —*ματα.* 13) *οὐ πεφόνευται* L^6. 14) *βλάπτεται* L^2. Vi. 15) —*ψηλαφῆσαι* L^2.

ἑτέρας ἐκίνησεν ἀγωγήν. δέον γὰρ κινῆσαι τὴν[1]) ex testamento ἐκίνησε τὴν[2]) ex stipulatu, ἢ καὶ ἐκ τοῦ ἐναντίον. 36. Ἔστι καὶ ἄλλη[3]) τῶν ἀγωγῶν διαίρεσις. εἰσὶ γάρ τινες 36. ἀγωγαί, δι' ὧν οὐχ ὅλον τὸ ἐποφειλόμενον λαμβάνομεν, ἀλλὰ ποτὲ μὲν ὁλόκληρον, ποτὲ δὲ ἧττον. οἷον ἐὰν κινῶ κατά σου τὴν de peculio ἕνεκα τοῦ σοῦ υἱοῦ ἢ τοῦ σοῦ οἰκέτου περὶ δέκα νομισμάτων. εἰ μὲν γὰρ εὔπορόν ἐστι τὸ pecúlion λήψομαι τὰ ῑ νομίσματα· εἰ δὲ ἄξιά ἐστι τὰ ἐν τῷ peculiῳ πράγματα πέντε νομισμάτων, εἰς τὰ ε̄ μόνα ὁ πατὴρ ἢ ὁ δεσπότης καταδικάζεται. τίνα δὲ τρόπον νοεῖσθαι χρὴ τὸ pecúlion προϊόντες μαθησόμεθα. 37. Ἔστι δὲ πρὸς τῇ de 37. peculio καὶ ἑτέρα ἀγωγὴ οὐ πάντως εἰς ὁλόκληρον ποιουμένη τὴν καταδίκην. ἐὰν γὰρ ἐγὼ ὑποδέξομαι προῖκα[4]) παρὰ τῆς ἐμαυτοῦ γαμετῆς, εἶτα συστὰς ὁ γάμος μετὰ ταῦτα διαλυθείη[5]), κινοῦσα κατ' ἐμοῦ τὴν ex stipulatu ἐπὶ ἀπαιτήσει τῆς προικὸς, οὐ πάντως λήψεται τὸ ὁλόκληρον, ἀλλ' εἰς ὅσον ἐξαρκεῖ ἡ ἐμὴ περιουσία. καὶ εἰ μὲν συντρέχει ἡ ποσότης τῶν ἐμῶν πραγμάτων τῇ ποσότητι τῆς προικὸς, ἡ γυνὴ[6]) λήψεται τὸ ὁλόκληρον. εἰ δὲ ἑκατὸν νομισμάτων οὔσης τῆς προικὸς[7]), ἡ[8]) οὐσία[9]) εἰς πεντήκοντα συντείνει, εἰς πεντήκοντα καταδικασθήσομαι διὰ τὸ εἰς[10]) τοσοῦτον εὐπορεῖν. ἐσθ' ὅτε καὶ εὐπόρου ὄντος οὐ πάντως ἡ ἐμὴ γυνὴ πᾶσαν λήψεται προῖκα διὰ τὴν ἀντικειμένην αὐτῇ retentiona, ἥτις τὴν ποσότητα μειοῖ τῆς προικός. εἰ γὰρ ἐπιδοθῇ μοι πράγματα ἐν προικὶ εἰς χίλια νομίσματα συντείνοντα, δαπανήσω δὲ περὶ αὐτὰ ἑκατὸν νομίσματα, διαλυθέντος δὲ τοῦ γάμου ἀπαιτῶμαι τῶν χιλίων νομισμάτων τὴν ποσότητα, δύναμαι ἀντιτιθέναι καὶ λέγειν, ὅτιπερ ἑκατὸν ἐδαπάνησα[11]) νομίσματα περὶ τοὺς ἀγροὺς ἢ τὰς οἰκίας τὰς λόγῳ προικὸς ἐπιδοθείσας[12]). καὶ ἐπειδὴ ipso iure[13]) αἱ τοιαῦται δαπάναι τὴν τροῖκα ἀπο-

[1]) d. F. [2]) ad. ex Vi. R. [3]) τούτων ad. L². [4]) πρ. ὑπ. Vi. F. R. [5]) M.: cet. —θῇ. [6]) ἤγουν L². [7]) περιουσίας L⁶. [8]) d. F. [9]) περιουσία Vi. R. [10]) d. L². [11]) ν. ἐδαπ. Vi. F. R. [12]) μοι ad. Vi. F. R. [13]) ἤγουν [καὶ M. L¹. L². L⁶.] αὐτῷ τῷ νόμῳ ins. libri ed.

actione quis expertus sit; uerbi gratia, cum quidam ex testa-
36. mento agere deberet, egit ex stipulatu, uel etiam contra. 36. Est alia quoque actionum diuisio. quaedam enim actiones sunt, quibus non solidum quod nobis debetur persequimur, set modo solidum, modo minus; ueluti si tecum de peculio agam filii seruiue tui X aureos petens. nam si locuples peculium est, X aureos accipiam; si uero res peculiares V aureis dumtaxat dignae sunt, in V tantummodo pater dominusue condemnabitur. quemadmodum autem peculium intellegi
37. debeat inferius monendi sumus. 37. Est praeter actionem de peculio alia quoque, quae non semper habet in solidum condemnationem. nam si dotem a mea uxore acceperim et nuptiae constiterint, deinde solutae fuerint, ipsa mecum ex stipulatu agens ad dotem persequendam; non prorsus solidum consequetur; set quatenus facultates meae patiuntur. itaque si doti quantitati bonorum meorum quantitas concurrat, solidum mulier consequetur; sin autem, cum dos C aureorum sit, meae facultates L tantum aureos efficiant, in L condemnabor; cum eatenus tantum soluendo sim. interdum autem licet soluere possim, non omnimodo uxor mea integram recipiet dotem propter oppositam ei retentionem, quae dotis repetitionem minuit. nam si mihi res in dotem datae fuerint, quae M aureis sint dignae, impenderim autem in eas aureos C, soluto matrimonio, si M aureorum summa a me petatur, obicere possum me C aureos in fundos aedesue nomine dotis mihi datos impendisse. et quia ipso iure eiusmodi impensae

μειοῦσιν, οὐ καταδικασθήσομαι εἰς τὰ χίλια νομίσματα, ἀλλ' εἰς μόνον[1]) ἐννεακόσια, εἰ γέγονεν ἡ δαπάνη necessaria οὖσα, τουτέστιν ἐξ ἀνάγκης δαπανηθεῖσα. ἤμελλε γὰρ ἐσθ' ὅτε καταπίπτειν ἡ οἰκία, εἰ μὴ περὶ ἀνανέωσιν αὐτῆς ἑκατὸν ἀναλωθῇ[2]) νομίσματα. διὰ ταῦτα ταύτῃ χρήσομαι[3]) τῇ retentioni [τουτέστι τῇ παρακατασχέσει[4])] ἥτις λέγεται ob impensas. ταῦτα δὲ πάντα τελειότερον[5]) ἐκ τῶν Digéstων ἔνεστι μαθεῖν.

38. Ἐάν τις κατὰ τοῦ οἰκείου πατρὸς (emancipatos ὢν δηλο- 38.
νότι) ἢ ἀπελεύθερος κατὰ τοῦ οἰκείου πάτρωνος, κινῇ οἱανδήποτε ἀγωγὴν, ἢ ἐὰν ὁ κοινωνὸς κατὰ τοῦ κοινωνοῦ κινῇ τὴν pro socio, οὐ πλέον ὁ ἐναγόμενος καταδικασθήσεται τῷ ἀντιδίκῳ, ἤπερ εἰς ὅσον εὐπορεῖ ἡ αὐτοῦ περιουσία. τὸ αὐτό ἐστι καὶ ἐὰν donandi animo ἐπερωτηθῶ δοῦναί τινι ἑκατὸν νομίσματα. οὔτε γὰρ πλέον ὀφείλω[6]) καταδικασθῆναι[7]) αὐτῷ, ἤπερ[8]) εἰς ὅσον εὐπορῶ. 39. Καὶ αἱ compensationes 39.
ἀντιτιθέμεναι, ὡς ἐπὶ τὸ πλεῖστον, ἀποτελοῦσιν, ὥςτε μὴ ὅλον λαμβάνειν τὸν actora ὅπερ ἀπαιτεῖν πειρᾶται[9]). εἰ γὰρ κινεῖ κατ' ἐμοῦ περὶ δέκα νομισμάτων[10]) ἀμοιβαδὸν ἀντεποφείλων μοι τρία νομίσματα, εἰς ἑπτὰ καταδικασθήσομαι καθὰ καὶ ἤδη προείρηται. διὰ τοῦτο[a]) δὲ εἶπον »ὡς ἐπὶ τὸ πλεῖστον«, ἐπειδὴ ἐὰν[11]) συμβῇ μὴ σαφὲς εἶναι τὸ εἰς compensationa ἀντιτιθέμενον χρέος οὐδὲν ἧττον ὁ actor ὁλόκληρον ἀπαιτεῖται τὸ χρέος[12]). 40. Ἐχρεώστει Titios 40.
διαφόροις creditorsi πολλὴν χρυσίου ποσότητα· ἐπικειμένων τῶν δανειστῶν καὶ ἀπαιτούντων τὰ χρέα, ἐξέστη τῆς οἰκείας περιουσίας οὐκ ἐξαρκῶν πρὸς τὴν τούτων[13]) καταβολήν. εἰ συνέβη αὐτὸν τὸν Tition[14]) μετὰ χρόνον ἕτερα κτήσασθαι πράγματα εἰς ἀξιόπιστον συντείνοντα ποσότητα, δύνανται οἱ

---

1) M.: cet. —να: τὰ ins. L^6. 2) ἀνηλώθησαν Vi. R. 3) χρησάμενος L^6. 4) de gloss. suspicor. 5) ἔνεστι h. l. L^6. 6) —ων M. L^2. 7) —ήσομαι L^2. 8) εἴπερ M. 9) ἐπιτέτραπται ad. M. Pi. L^6. 10) γ̄ h. l. L^6. 11) εἰ L^6. 12) ὁλόκλ. h. l. Vi. F. R. 13) —του L^2. 14) τὸν T. αὐτ. Vi. R.

a) cfr. supra §. 30.

dotem minuunt, non condemnabor in M aureos set in DCCCC
tantum, dummodo necessariae fuerint impensae; ut ecce si
aedes collabi contigisset, nisi ad eas reficiendas C aureos
impendissem. itaque eiusmodi retentione utar, quae 'ob
impensas' dicitur. set haec omnia plenius ex digestorum
38. libris cognoscere licet. 38. Si quis cum parente suo (cum
nempe emancipatus sit) patronoue quocumque iudicio agat,
uel si socius cum socio iudicio societatis agat, non ultra reus
actori condemnabitur, quam eius facultates soluendo sunt.
idem est et si donandi animo cuidam C aureos promittam;
non enim ultra condemnari debeo, quam facere possum.
39. 39. Compensationes quoque oppositae plerumque efficiunt, ut
minus actor consequatur, quam consequi studet. nam si
mecum agit X aureos petens, inuicem mihi aureos III debens,
in VII condemnabor, sicuti superius dictum est. ideo autem
'plerumque' dixi, quia si oppositum ad compensandum
debitum non liquet, nihilominus actor id quod sibi debetur
40. in solidum consequetur. 40. Titius magnam auri uim pluribus
creditoribus debebat. cumque creditores urguerent et debita
peterent, suis bonis cessit, quia soluendo non erat. si contin-
gat ut postea idem Titius alia bona adquirat, quae satis
idoneam efficiant quantitatem, poterunt creditores, quippe

creditores, *οἷα μὴ δυνηθέντες ἀποπληρωθῆναι τὸ χρέος, τὴν λειπομένην αὐτὸν*[1]) *ἀπαιτεῖν ποσότητα· καταδικασθήσεται δὲ*[2]) *αὐτοῖς οὐκ εἰς ὁλόκληρον, ἀλλ' εἰς ὅσον εὐπορεῖ. ἀπάνθρωπον γὰρ ἐνομίσθη τῆς ἰδίας αὐτὸν γυμνωθέντα περιουσίαν εἰς ἅπαν καταδικάζεσθαι τὸ χρέος.*

Quod cum eo qui in aliena potestate est negotium gestum esse dicitur[3]). Titulus 7.

Ἐν τοῖς προλαβοῦσι μνήμην ἐποιησάμεθα τῆς de peculio *ἥτις κινεῖται προφάσει τοῦ* peculiu *τοῦ οἰκέτου ἤγουν τοῦ ὑπεξουσίου υἱοῦ κατὰ τοῦ πατρὸς ἢ δεσπότου. δεῖ τοίνυν περὶ αὐτῆς εἰπεῖν· εἰς τοῦτον γὰρ τὸν καιρὸν τὴν αὐτῆς ὑπερεθέμεθα διδασκαλίαν ποιήσασθαι. ἀλλὰ χρὴ καὶ περὶ τῶν*[4]) *ἑτέρων ἀγωγῶν*[5]), *αἵτινες χάριν τῶν αὐτῶν ὑπεξουσίων κατὰ*[6]) *πατρὸς ἢ*[7]) *δεσπότου κινοῦνται*[8]) *ἐπιμελέστερον διεξελθεῖν. ἐπειδὴ δὲ συναλλάγματος γενομένου εἴτε μετὰ οἰκέτου εἴτε μετὰ ὑπεξουσίου υἱοῦ τὰ αὐτά σχεδόν*[9]) *ἐστι νόμιμα, ἵνα μὴ φλύαρος καὶ πολυρήμων φανῶ διαλογισμοῖς ἀπείροις κεχρημένος, λόγον ποιήσομαι περὶ μόνων πρὸς οἰκέτην γενομένων συναλλαγμάτων καὶ τῆς κατὰ τοῦ δεσπότου ἐναγωγῆς. τὰ αὐτὰ γὰρ νοήσομεν καὶ περὶ υἱοῦ, ἔτι δὲ καὶ περὶ πατρὸς ἔχοντος* in potestate *τὸν παῖδα. εἰ δέ τι ἰδιάζον ἐπὶ τούτων παραφυλάττεται, κεχωρισμένως ἐπιδείξομεν τοῦτο.* 1. *Ἔστι* 1. *τοίνυν κατὰ τοῦ δεσπότου ἀγωγὴ ἡ* 'quod iussu', *προφάσει τῶν πρὸς τὸν οἰκέτην συναλλαγμάτων κινουμένη. ἐὰν γὰρ*

---

1) M. R.: cet. *αὐτῶν* [—*τοῦ* Vi.]. 2) *καὶ κατ.* Vi. R. 3) *Περὶ πεκουλίου* L⁶. Vi. R. *Περὶ πεκουλίου* [d. M. L²] *ὅτι ἡ μετὰ τῆς ἑτέρων ἐξουσίας οὖσα πραγματεία λέγεται* M. L¹. L². F. 4) d. Vi. R. 5) *ἀγωγῶν* L⁶. 6) *τοῦ* ins. L⁶. 7) ins. *Τοῦ* L². 8) —*εῖται* L². 9) *ἐστ. σχ.* Vi. F. R.

qui sibi debitam pecuniam integram recipere non potuerint, reliquam summam petere: condemnabitur autem eis non in solidum, set in id quod facere potest. inhumanum enim uisum est spoliatum fortunis suis in solidum condemnari.

Quod cum eo qui in aliena potestate est negotium gestum esse dicitur. Titulus 7.

Superius actionis de peculio mentionem habuimus, qua in peculium seruorum uel filiorum familias agitur aduersus patrem dominumue. opus est igitur, ut de ea dispiciamus: in hoc enim tempus eius tractatum distulimus. set opus est quoque de ceteris actionibus, quae eorundem seruorum filiorumue familias nomine exerceri solent, diligentius tractare. set quia, siue cum seruo negotium gestum sit, siue cum filio familias, eadem fere iura seruantur, ne loquax et uerbosus esse uidear infinitis disputationibus utens, sermonem de iis tantum negotiis habebo, quae cum seruis geruntur, et de intentione, quae aduersus dominum concipitur. eadem enim de filio quoque intellegemus et de patre, qui eum in potestate habet; si quid autem in his proprie obseruatur, id
1. separatim ostendemus. 1. Est igitur cum domino actio 'quod iussu' eorum negotiorum gratia, quae cum seruis gesta sunt.

κελεύσει τοῦ δεσπότου συναλλάξῃ μοι καὶ[1]) γένηται δέ μοι ἔνοχος, ἔξω κατὰ τοῦ δεσπότου τὴν 'quod iussu', τρόπον γάρ τινα πρὸς αὐτὸν δοκῶ συναλλάττειν καὶ τὴν αὐτοῦ μεταδιώκειν πίστιν διὰ τὴν ὑπ' αὐτοῦ γενομένην κέλευσιν. εἰς ὁλόκληρον δὲ αὕτη ἡ quod iussu ἔχει τὴν καταδίκην. 2. Κατὰ 2. μίμησιν τῆς 'quod iussu' καὶ ἑτέρας δύο εἰς ὁλόκληρον ἐχούσας τὴν καταδίκην ἀγωγὰς ὁ praétωr ἐπηγγείλατο, ὧν ἡ μὲν exercitoria, ἡ δὲ ἑτέρα institoria προσαγορεύεται[a]). καὶ ἡ μὲν exercitoria τότε χώραν ἔχει, ὁπότε τὸν ἴδιον οἰκέτην mágistrón τις τῆς οἰκείας προβάληται νεὼς καί τι μετὰ τοῦ προβληθέντος αὐτοῦ[1a]) χάριν τοῦ πράγματος, ἐφ' ᾧ καὶ προεβλήθη, γέγονε[2]) συνάλλαγμα. ἐπὶ γὰρ τούτου τοῦ θέματος εἰς ὁλόκληρον ἔξω τὴν exercitorian κατὰ τοῦ δεσπότου. διὰ τοῦτο δὲ ὠνόμασται exercitoria, ἐπειδὴ exercitωr προσαγορεύεται οὗτος, πρὸς ὃν ὁ καθημερινὸς τῆς νεὼς πόρος ἀνατρέχει[3]). ἡ δὲ institoria τότε χώραν ἔχει, ἡνίκα τις καπηλείου τυχὸν ἢ οἱασδήποτε πραγματείας τὸν ἴδιον προέστησεν οἰκέτην[4]). ἐὰν γὰρ μετ' αὐτοῦ τι συνάλλαγμα γένηται, ταύτης χάριν τῆς αἰτίας, ἐφ' ᾗ καὶ προέστη, ἐναχθήσεται ὁ δεσπότης εἰς ὁλόκληρον τῇ institoriᾳ. διὰ τοῦτο δὲ institoria προσαγορεύεται, ἐπειδὴ οἱ προβαλλόμενοι τῶν πραγμάτων institores καλοῦνται. 2a. Χώρα δὲ ταύτῃ τῇ institoriᾳ καὶ τῇ exercitoriᾳ[5]) ἡνίκα, 2a. εἰ καὶ ἐλεύθερόν τις[6]) ἢ[7]) ἀλλότριον οἰκέτην ἢ καπηλείου ἢ οἱασδήποτε πραγματείας προέστησεν[8]). κἀνταῦθα γὰρ ὁ αὐτὸς ὁ τῆς δικαιοσύνης λόγος κατὰ τοῦ προστήσαντος τὴν exercitorian ἤγουν institorian δίδωσιν. ὁ γὰρ προϊστῶν τινα δοκεῖ λαμπρᾷ λέγειν τῇ φωνῇ ὅτι »ἐγὼ τοῦτον προέστησα· ὁ βουλόμενος αὐτῷ συναλλαττέτω«. 3. Ἐπενόησε δὲ καὶ 3. ἄλλην ἀγωγὴν ὁ praétωr, ἥτις tributoria καλεῖται. ἐὰν γὰρ ὁ ἐμὸς οἰκέτης εἰς τὰ peculiária αὐτοῦ πραγματεύεται[9]) φορτία,

1) ad. ex. M. L^6. 1a) Ita correxi (cfr. et R. in notis): τιμήματος πρ. αὐτῷ libri. 2) γένηται L^6. 3) προανατρ. L^6. 4) M.: cet. οἰκ. προέστ. 5) —iae Vi. R. 6) δ. Vi. R. 7) καὶ om. cum M. Vi. R. 8) —ηκε Vi. R. 9) —σηται Vi. R.

a) schol. Bas. I 789.

si ergo iussu domini mecum negotium gerat seruus et mihi obligetur, actionem habebo cum domino '*quod iussu*'; quodammodo enim cum eo contrahere uideor eiusque fidem sequi propter eius iussum. in solidum autem haec actio
2. '*quod iussu*' condemnátionem habet. 2. Ad huius actionis similitudinem duas quoque alias, quibus solidum persequimur, praetor pollicitus est, quarum altera *exercitoria*, altera *institoria* appellatur. *exercitoria* tunc locum habet, cum quis seruum suum magistrum nauis suae praeposuit, et aliquid cum eo qui est praepositus eius rei gratia, cui praepositus est, contractum est. in eiusmodi autem casu in solidum exercitoriam actionem aduersus dominum habebo. et ideo '*exercitoria*' uocatur, quia '*exercitor*' appellatur is, ad quem cottidianus nauis quaestus pertinet. *institoria* tunc locum habet, cum quis tabernae forte aut cuilibet negotiationi seruum suum praeposuerit; nam si quid cum eo eius rei causa, cui praepositus est, contractum fuerit, dominus in solidum institoria actione conuenietur. ideo autem '*institoria*' appellatur, quia ei, qui negotiationibus praeponuntur, '*institores*' uocantur.
2a. 2a. Locus autem est institoriae et exercitoriae actioni etiam si liberum quis hominem aut alienum seruum naui aut tabernae aut cuilibet negotiationi praeposuerit; nam hic quoque eadem aequitatis ratio exercitoriam uel institoriam actionem aduersus eum, qui praeposuit, dat. nam is qui aliquem praeponit uidetur aperta uoce declarare: »hunc ego
3. praeposui: qui uolet cum eo contrahat«. 3. Introduxit et aliam actionem praetor, quae *tributoria* uocatur. namque si seruus meus in peculiaribus suis mercibus negotietur, me

οὐ κατὰ κέλευσιν ἐμὴν, οὐδὲ ἐμοῦ προστήσαντος αὐτὶν, εἰδότος μέντοι καὶ οὐκ ἀντιλέγοντος, γένηται δέ τι[1]) *πρὸς αὐτὸν συνάλλαγμα, οὕτως ὁ* praétωr *ἐπὶ αὐτῷ*[2]) *δικαιοδοτεῖ. εἰ γὰρ συμβῇ ἐποφλῆσαι αὐτὸν διαφόροις προσώποις, ἐποφλῆσαι δὲ κἀμοὶ τῷ δεσπότῃ (ὃ δὲ εἶπον »ἐποφλῆσαι« ἐστι*[3]) *φυσικῶς νοητέον οὐκ ἐννόμως), παραγένηται δὲ ὁ οἰκέτης ἔχων μεθ' ἑαυτοῦ τὰ φορτία, προσέρχονται οἱ* creditores *τῷ* praétori, *καὶ ἀναγκάζει τὸν δεσπότην ἀγαγεῖν εἰς μέσον τὰ φορτία, καὶ εἰ τυχὸν ἐν τῷ μεταξύ τινα αὐτῶν διεπράθη καὶ συνήχθη χρυσίον*[4]), *τοῦτο ἀναλόγως διελεῖν μεθ' ἑαυτοῦ καὶ τῶν λοιπῶν* creditórωn. *εἰ δὲ αὐτὸς ὁ δεσπότης, ᾧ ἐπετράπη τῶν φορτίων ἡ διαίρεσις, ὑφέληταί τινα ἐξ αὐτῶν καὶ μὴ πάντα εἰς μέσον ἀγάγῃ, ἔλθῃ δέ τις τῶν* creditórωn *αἰτιώμενος καὶ λέγων ὅτι*[5]) *ἐλάττονα φορτία τῶν ὑπὸ τοῦ οἰκέτου ἐκ τῆς πραγματείας ἐνεχθέντων εἰς μέσον ἐλήλυθε, δοθήσεται αὐτῷ* tributoria *κατὰ τοῦ δεσπότου, δι' ἧς ἀναγκασθήσεται ἅπερ ἔτυχεν*[6]) *ἀποκρυψάμενος φορτία*[7]) *εἰς μέσον ἐνεγκεῖν. λέγεται δὲ* tributoria (*διαιρετική*) *παρὰ τὸ* distribuere, *ὅ ἐστι »διαιρεῖν«*[8]). 4. *Πρὸς ταῖς εἰρημέναις ἀγωγαῖς ἐπενόησε καὶ* 4.
τὴν de peculio, *ἤτοι* de in rem uerso[9]), *ἵνα εἰ καὶ παρὰ γνώμην τοῦ*[10]) *δεσπότου συνάλλαγμά τι γένηται πρὸς τὸν οἰκέτην, ὅμως εἴτε τι ἐδαπανήθη περὶ τὴν οὐσίαν τοῦ δεσπότου, τουτέστι* uérson[11]) *ἐγένετο*[12]), *τοῦτο ὅλον ὁ δεσπότης καταδικασθῇ, εἴτε οὐκ ἐγένετο* uérson, *εἰς τοῦτο· μέχρι τῆς τοῦ* peculiu *κατιδικασθῇ ποσότητος*[13]). 4a. *Δοκεῖ δὲ* uérsa[14]) 4a.
γίνεσθαι εἰς τὴν οὐσίαν τοῦ δεσπότου, ἐάν τι κατὰ τὸ ἀναγκαῖον ἀναλωθῇ περὶ τὰ αὐτοῦ πράγματα. οἷον δανεισάμενος ὁ ἐμὸς οἰκέτης τοῖς[15]) *ἐμοῖς* creditorsi *κατέβαλεν, ἢ μέλλουσάν μοι*

---

1) d. Vi. R. 2) —*ῇς* L^{2}. *τῆς αὐτῆς ἀγωγῆς* L^{6}. 3) scr. ex M. *εἰ*. 4) *καὶ* ad. Vi. R. 5) *ὡς ὅτι* Vi. F^{1}. R.: d. cet. 6) *ἔκρυψεν* M. 7) *ὅπερ ... φορτίον* Vi. R. 8) M. Par^{1}. Par^{3}. *διελεῖν* L^{1}. L^{2}. L^{6}. Vi. F^{1}. R. 9) *τουτ. περὶ τῶν ἐν πράγμασι τοῦ πατρὸς ἢ καὶ δεσπότου στραφέντων ἤγουν δαπανηθέντων* ad. Vi. R. 10) *δ.* L^{6}. 11) in rem uersum Vi. R. 12) *εἰς* ins. Vi. R. 13) *ποσ. κατ.* Vi. F. R. 14) —sum Vi. R. 15) d. L^{6}.

non iubente neque praeponente, set tamen sciente et non contradicente, et quid cum eo fuerit contractum, ita de hoc praetor ius dicit. si pluribus obnoxius factus sit. inter quos et mihi domino (quod autem dixi obnoxium esse de naturali non ciuili obligatione accipiendum est), et adsit seruus merces suas habens, adeunt creditores praetorem, qui coget dominum merces in medium proferre et si qua merx distracta fuerit et inde pecunia recepta, hanc inter dominum et ceteros creditores pro rata portione distribuere. sin autem dominus, cui mercium distributio est permissa, aliquid inde subtraxerit neque omnia in medium protulerit, et queratur quidam ex creditoribus et dicat pauciores merces, quam in quibus negotiatus sit seruus, a domino in medium esse prolatas, tributoria actio ei aduersus dominum competet, qua is cogetur quascumque condiderit merces in medium proferre.
4. dicitur autem 'tributoria' a 'distribuendo'. 4. Praeter dictas actiones introduxit actionem de peculio siue de in rem uerso, ut, quamuis sine uoluntate domini negotium gestum sit, tamen, siue quid in rem domini impensum idest uersum sit, id totum debeat praestare; siue non sit in rem
4a. uersum, usque ad peculii quantitatem condemnetur. 4a. In rem autem domini uersum intellegitur, quidquid necessario in rem eius impensum est: ut ecce: mutuatus seruus meus pecuniam creditoribus meis soluit, aut ruentes aedes meas

πίπτειν οἰκίαν ἀνώρθωσεν, ἢ τῇ ἐμῇ familia *σῖτον ἠγόρασεν, ἤγουν ἀγρὸν ἢ ἕτερον οἱονδήποτε πρᾶγμα ἀναγκαῖον ἠγόρασέ μοι.* 4b. *Εἰ τοίνυν δέκα νομίσματα ἐδανείσατο παρά σου* 4b. *καὶ πέντε μὲν κατέβαλε τῷ ἐμῷ* creditori, *τὰ δὲ ἄλλα ε̄ νομίσματα*[1]) *ὁπωςδήποτε ἐδαπάνησεν, ὑπὲρ μὲν τῶν πέντε τῶν* uérsωn[2]) *εἰς ὁλόκληρον καταδικάζομαι, ὑπὲρ δὲ τῶν μὴ δαπανηθέντων εἰς ἐμὲ μέχρι τοσούτου κατασχεθήσομαι*[3]), *μέχρις οὗ ἐκτείνεται ἡ τοῦ* peculíu *ποσότης. οὐκοῦν ἐντεῦθεν δῆλον, ὅτι εἰ πάντα τὰ δέκα νομίσματα εἰς τὴν ἐμὴν οὐσίαν*[4]) *δαπανήσῃ*[5]), *ὅλα*[6]) *τὰ δέκα νομίσματα ὁ* credítωr *ἀπαιτήσει με. αὕτη γὰρ ἡ* 'de peculio' *μία μέν ἐστιν ἀγωγὴ, διπλῆν δὲ ἔχει*[7]) *καταδίκην, ἢ γὰρ εἰς τὸ* pecúlion *ἢ εἰς τὸ* uérson *γίνεται ἡ ἐναγωγὴ καὶ ἡ καταδίκη. ὁ τοίνυν δικαστὴς*[8]) *τῆς*[9]) de peculio *ἀκροώμενος πρότερον εἴωθε κατανοεῖν εἰ ἐδαπανήθη τι περὶ τὴν οὐσίαν τοῦ δεσπότου, καὶ εἰ μέν τι δεδαπάνηται εἰς ταύτην πάντως τὴν ποσότητα τὸν δεσπότην καταδικάζει*[10]). *ἑτέρως γὰρ εἰς τὴν ζήτησιν τῆς ποσότητος τοῦ* peculíu[11]) *μεταβήσεται, εἰ*[12]) *μηδὲν τῶν δανεισθέντων τῷ οἰκέτῃ εἰς τὴν*[13]) *οὐσίαν δαπανηθῇ τοῦ δεσπότου, ἤγουν μὴ πάντα δαπανηθῇ.*

4c. *Εἰπόντες περὶ τῆς* de peculio, *εἴπωμεν τί ἐστι* pecúlion. 4c. *ὅρος* peculíu *οὗτός ἐστιν· οὐσία*[a]) *φυσικὴ προσκεκριμένη*[14]) *ὑπεξουσίῳ κατὰ γνώμην πατρὸς ἢ δεσπότου, ἐξῃρημένων τῶν φυσικῶν χρεῶν, πατρικῶν φημι καὶ δεσποτικῶν καὶ τῶν τοῖς ὑπεξουσίοις ἐποφειλομένων. οὐσία εἶπον φυσικὴ, ἐπειδὴ κατὰ νόμους οὐσίαν ἔχειν ὁ*[15]) *ὑπεξούσιος οὐ δύναται· προσκεκριμένη*[16]) *ὑπεξουσίῳ κατὰ γνώμην πατρὸς ἢ δεσπότου εἶπον, ἐπειδὴ ἐκεῖνο*

---

1) *ε̄ ν.* d. Vi. R. 2) —sorum Vi. R. 3) *—δικασθήσομαι* L². L⁶. 4) *περιουσίαν* L⁶. 5) M.: cet. *ἐδαπάνησεν οὐσ.* 6) *ἄλλα* L². 7) *τὴν* ad. Vi. R. 8) *ὁ* ad. Vi. R. 9) *τοῦ* L⁶. 10) *κατ. τ. δεσπ.* L⁶. 11) *οὐ* ad. L⁶. 12) *μὴ ἢ* ins. L⁶. 13) M.: cet. ad. *οἰκείαν* [*τοῦ οἰκείου* L⁶.]. 14) M. Pi.: cet. *—κεκυρωμένη.* 15) M. L⁶.: cet. d. 16) *προσκεκυρωμένη*[*ν* Vi. R.] omn. praet. M. Pi.

a) Ulp. D. 15, 1, 5, 4.

fulsit, aut familiae meae frumentum emit, aut fundum aliam-
4b. que rem necessariam mihi mercatus est. 4b. Itaque si X aureos a te est mutuatus et V creditori meo soluit, reliquos uero V quolibet modo consumpserit, pro V quidem, qui in rem meam uersi sunt, omnino damnari debeo, pro ceteris uero, qui pro me non sunt consumpti, eatenus tenebor, quatenus peculii quantitas extenditur. ex quo scilicet apparet, si toti X aurei in rem meam uersi fuerint, totos X aureos creditorem a me petiturum. actio autem de peculio, licet una est actio, duas habet condemnationes; aut enim de peculio aut de eo, quod in rem uersum est, intentio et condemnatio fiunt. itaque iudex, qui de actione de peculio cognoscit, aute dispicere solet, an in rem domini quid uersum sit, et si quid uersum est, in totam hanc summam dominum condemnat. aliter enim ad peculii aestimationem transibit, si nihil eorum, quae seruus consumpserit in rem domini
4c. uersum, sit aut certe non omnia. 4c. Cum uero de peculio dixerimus, uideamus quid peculium sit. definitio peculii haec est: naturale quoddam patrimonium, quod ei est attributum qui alieno iuri subiectus est ex patris dominiue uoluntate, excepto eo quod naturaliter parentibus uel dominis debetur eisue, qui in eiusdem potestate sunt. »naturale quoddam patrimonium« dixi, quia iure ciuili is, qui in aliena potestate est, nihil suum habere potest. »ex patris dominique uoluntate ei, qui alieno iuri est subiectus, attributum«, ideo dixi, quia id demum peculium est, quod

pecúlión ἐστιν ὃ οἶδεν ὁ πατὴρ ἢ ὁ δεσπότης. εἰ γάρ τι παρὰ γνώμην αὐτῶν ἔχουσι, τοῦτο οὐ συναριθμηθήσεται τῷ peculíῳ[1]). ἐξηρημένων φυσικῶν χρεῶν προςτέθεικα, ἐπειδὴ ἐκεῖνο κυρίως[2]) ἐστὶ pecúlion, ὃ περιλιμπάνεται μετὰ τὴν τῶν φυσικῶν χρεῶν ἐξαίρεσιν. οἷον ἐποφείλει μοι ὁ σὸς ὑπεξούσιος ἑκατὸν νομίσματα, ἔχει δὲ pecúlion νομιζόμενον κατὰ πρώτην ὄψιν τριακόσια νομίσματα· ἀλλ'[3]) ἐποφείλει τῷ πατρὶ ἢ τῷ δεσπότῃ ἑκατὸν νομίσματα, ἐποφείλει δὲ καὶ τῷ συνυπεξουσίῳ, οἷον τῷ συνδούλῳ ἤγουν τῷ ἰδίῳ ἀδελφῷ, (ἢ ὁ σὸς μὲν υἱὸς ἐποφείλει τῷ σῷ δούλῳ ἢ ὁ σὸς δοῦλος ἐποφείλει τῷ υἱῷ σου τῷ ὑπεξουσίῳ) $\overline{ρν}$[4]) νομίσματα, καθαρὸν νομίζεται pecúlion πεντήκοντα νομίσματα[5]). ἔστιν[6]) ὅτε τῷ ὑπεξουσίῳ ἐποφειλόμενον χρέος οὐκ ἐξαιρεῖται κινουμένης τῆς de peculio. οἷον ὡς ἐπὶ τούτου τοῦ θέματος. ὁ σὸς οἰκέτης εἶχεν ἐν τῷ peculíῳ οἰκέτην[7]). οἱ δὲ νομικοὶ τὸν μὲν πρῶτον οἰκέτην λέγουσιν ordinárion, τὸν δὲ τοῦ οἰκέτου οἰκέτην λέγουσι uicárion, quia uicem ipsius optinet[8]). τουτέστιν ὥςπερ ὁ ordinários οἰκέτης ἐστὶν, οὕτω καὶ ὁ uicários, ὥςτε οὖν συνυπεξούσιοί εἰσιν. ἐχρεώστει τοίνυν ὁ σὸς οἰκέτης ἐμοὶ ἑκατὸν νομίσματα, εἶχε δὲ pecúlion ἑκατὸν καὶ πεντήκοντα[9]), ἡ γὰρ διατίμησις τῶν ἐν τῷ peculíῳ πραγμάτων εἰς τοσαύτην συνέτεινε ποσότητα. ἣν δὲ ἐν τῇ διατιμήσει καὶ ὁ uicários· ἐχρεώστει δὲ καὶ[10]) ὁ ordinários τῷ uicaríῳ ἑκατὸν νομίσματα. ἐναγόμενος σὺ παρ' ἐμοῦ τῇ de peculio, οὐ δύνασαι λέγειν ὅτι τὸ pecúlion τοῦ σοῦ οἰκέτου ἐστὶ[11]) πεντήκοντα μόνων[12]) νομισμάτων, καὶ δεῖ σε εἰς πεντήκοντα μόνα καταδικασθῆναι, ἐπειδὴ ὁ σὸς οἰκέτης[13]), ὑπὲρ οὗ ἐνάγῃ τῇ de peculio, τῷ uicaríῳ χρεωστεῖ ἑκατὸν νομίσματα. τοῦτο γὰρ[14]) τὸ χρέος

---

1) M. L^6.: cet. τῷ πικ. [d. L^1. L^2.] συναρ. 2) κυρ. ἐκ. omn. praet. M. L^6. 3) ἐπειδὴ ins. Vi. R. 4) L^6. Vi. R. [qui l. ἑκ. καὶ πεντ.]: $\overline{ρ}$ νν. M. L^1. L^2.: πεντήκοντα νομ. F. 5) νν. $\overline{ν}$ L^2. 6) M.: cet. ins. δὲ. 7) αὐτοῦ ins. Vi. R. 8) haec d. Vi. 9) $\overline{ρν}$ $νν^0$. L^1. $\overline{ρ}$ $νν^0$. L^2. 10) d. L^1. L^2. 11) d. L^6.: μόνα h. l. L^6. 12) M.: cet. μόνα ν—α. 13) ὁ ordinarius Vi. R. 14) τούτου χάριν L^2.

nouerunt pater uel dominus. nam si quid contra eorum uoluntatem filius familias uel seruus habuerint, id non adnumerabitur peculio. 'excepto eo quod naturaliter debetur' addidi, quia id proprie peculium est quod superest, deducto eo, quod naturaliter debetur. ut ecce qui in tua est potestate C aureos mihi debet, peculiumque habet, quod prima facie CCC aureorum esse uidetur. set patri dominoue C aureos debet, item ei, qui in eiusdem est potestate, ueluti conseruo uel fratri, uel filius familias tuus seruo tuo, uel seruus tuus filio familias tuo aureos CL: purum uidetur peculium L aureos continere. aliquando tamen id, quod ei debetur, qui in eiusdem est potestate, non deducitur, cum de peculio agitur. ueluti in hac specie. seruus tuus hominem in peculio habebat; illum quidem seruum 'ordinarium' iuris consulti uocare solent, alterum uero serui seruum uocant 'uicarium', quia uicem ipsius optinet, idest sicuti ordinarius seruus est, ita et uicarius: sunt igitur in eiusdem potestate. debebat mihi seruus tuus aureos C, peculiumque habebat aureorum CL. rerum enim peculiarium aestimatio ad hanc summam referebatur; in hac aestimatione et uicarius continebatur. debebat item ordinarius uicario aureos C. a me actione de peculio conuentus, non potes opponere serui tui peculium L dumtaxat aureorum esse, teque in L solum esse condemnandum, cum seruus tuus, cuius nomine tecum de peculio agitur, uicario C aureos debeat. nam eiusmodi

οὐκ ἐξαιρεῖται. καὶ τίς ἐστιν ὁ λογισμὸς ἀναγκαῖον εἰπεῖν. ὁ λογισμὸς οὗτος[1]· ἡνίκα βουλόμεθα τὸ pecúlion τοῦ ordinaríu οἰκέτου καταμαθεῖν ψηφίζοντες τὰς διατιμήσεις τῶν ἄλλων πραγμάτων προςτίθεμεν καὶ τὴν τοῦ uicaríu διατίμησιν. καὶ οὕτως ἀποφαινόμεθα λέγοντες τοσῆςδε εἶναι ποσότητος τὸ pecúlion. τούτου δὲ οὕτως ἔχοντος, οὐ δύναται ὁ uicários, οὗ ἡ διατίμησις ηὔξησε[2]) τὸ pecúlion, αὐτὸς καὶ[3]) μειοῦν αὐτὸ διὰ τῶν ἐποφειλομένων αὐτῷ, ἵνα μὴ τὸ αὐτὸ πρόσωπον εὑρεθῇ δύο ἐναντία ποιοῦν καὶ αὔξον καὶ μειοῦν[4]) τὸ pecúlion[5]). τὸ αὐτό ἐστιν εἰ καὶ[6]) ὁ σὸς[7]) ὑπεξούσιος ἔχει οἰκέτην ἐν τῷ ἰδίῳ peculíῳ, ὃς λέγεται peculiários καὶ ἐποφείλει μοι ἑκατὸν νομίσματα. ἡ δὲ διατίμησις τοῦ peculíu αὐτοῦ συντείνει εἰς ρ̄ νομίσματα[8])· χρεωστεῖ δὲ[9]) peculiaríῳ οἰκέτῃ[10]) ἑκατὸν νομίσματα. κἀνταῦθα λέγομεν μὴ ἐξαιρεῖσθαι τοῦτο τὸ χρέος[11]), ἵνα μὴ ὁ peculiários οἰκέτης αὐξήσῃ μὲν τὸ τοῦ υἱοῦ σου pecúlion διὰ τῆς οἰκείας διατιμήσεως, μειώσῃ δὲ διὰ τῶν αὐτῷ φυσικῶς ἐποφειλομένων[12]) καὶ εὑρεθῇ[13]) τὸ αὐτὸ πρόσωπον δύο ποιοῦν ἐναντία ἐν τῇ αὐτῇ δίκῃ, καὶ αὔξον καὶ μειοῦν τὸ pecúlion. 5. Ἐκ τῶν εἰρημένων δεδήλωται ὅτι 5.
πολλαί εἰσιν[14]) ἀγωγαὶ κινούμεναι κατὰ τοῦ δεσπότου προφάσει τῶν ἐποφειλομένων ὑπὸ τοῦ οἰκέτου. ἔστι γὰρ ἡ quod iussu, ἐστὶν[15]) ἡ institoria[16]) ἡ exercitoria[17]) ἡ tributoria· ἔστι[18]) καὶ ἡ de peculio ἤτοι de in rem uerso[19]). ἔξεστι δέ τινι ἐάσαντι τὴν quod iussu ἢ τὴν exercitorian ἢ institorian ἐλθεῖν ἐπὶ τὴν de peculio· γενικὴ γὰρ οὖσα ἡ de peculio ἀντὶ πασῶν δύναται κινεῖσθαι[20])· ἐκεῖναι μὲν γὰρ ἰδικαὶ[21]), αὕτη δὲ γενική ἐστιν. ἀνόητος δέ ἐστιν ἐκεῖνος[22]) ὁ ἐάσας ἐκείνας[23]),

---

1) ἐστιν ad. Vi. R. 2) —ξε L1. L2. F2. 3) ὁ αὐτὸς L6. 4) M.: cet. ἀπομ. 5) ἐν τῇ αὐτῇ ὑποθέσει ad. Vi. R. 6) καὶ εἰ L6. 7) υἱὸς ins. R. 8) haec d. Vi. 9) καὶ τῷ ad. Vi. R. τῷ L1. L6. F. 10) σου ins. Vi. F. R. 11) τὸ χρ. τοῦτ. L6.: antea ἐνταῦθα Vi. R. 12) αὐτοῦ φ. ἐπ. αὐτῷ F. 13) M. L6. Vi. R.: ἵνα τὸ α. προσ. εὑρ. cet. 14) αἱ ins. Vi. R. 15) δ. Vi. R. 16) καὶ ins. L6. 17) καὶ ins. L6. 18) δὲ ins. Vi. R. 19) haec δ. Vi. 20) κιν. δύν. L6. 21) ἰδιωτικαὶ Pi. 22) ἐκ. ἐστ. Vi. R. 23) ἐκ. ἐάσ. L6.

debitum non repetitur. quaenam uero sit ratio dicere oportet: ratio autem haec est. cum ordinarii serui peculium aestimare uolumus ceterarum rerum pretia computantes uicarii quoque aestimationem addimus et hoc modo iudicamus tantam esse peculii quantitatem. quae cum ita sint, non potest uicarius, cuius aestimatio peculium auget, id minuere propter ea, quae ei debentur, ne idem homo inueniatur duo efficiens contraria, augens nimirum et minuens peculium. idem est etiam si filius, qui in tua est potestate, seruum in suo peculio habeat, qui peculiaris dicitur, et is mihi C aureos debeat. cum uero aestimatio eius peculii C aureorum sit, debet peculiario seruo aureos C. etiam hic dicimus tale debitum non deduci, ne peculiaris seruus, qui filii tui peculium sua aestimatione auget, id minuat, propter ea, quae ei naturaliter debentur, et idem homo inueniatur duo contraria in eodem efficiens
5. iudicio, augens nimirum et minuens peculium. 5. Ex his, quae diximus, liquet plures esse actiones, quibus in dominum experiri possumus eorum nomine, quae a seruis debentur. est enim 'quod iussu', est institoria, exercitoria, tributoria, de peculio siue de in rem uerso. licet autem cuique, omissa 'quod iussu' actione, uel exercitoria uel institoria ad actionem de peculio transire. cum enim generalis sit actio de peculio, uice omnium exerceri potest: illae enim speciales sunt, ipsa generalis. stultus uero est

αἵτινες εὐχερεῖς εἰσιν εἰς ἀπόδειξιν καὶ τὸ ὁλόκληρον περιποιοῦσι[1]) τῷ ἐνάγοντι καὶ ὁρμῶν ἐπὶ τὴν de peculio. δυσχερὲς γάρ ἐστι πρῶτον μὲν δεῖξαι πόσον ἐστὶ τὸ pecúlion, τὰ γὰρ πράγματα τοῦ peculiu οὐκ ἔστι πρόδηλα τοῖς ἔξωθεν· ὅτε δὲ καὶ δείξῃ πολλὰ κοπωθεὶς ὁπόσον ἐστὶ τὸ pecúlion· τότε δύναται ἀντιτιθέναι φυσικὸν χρέος ἀπομειοῖν τὸ pecúlion. δυσχερὲς δέ ἐστιν ἀποδεῖξαι καὶ πόσα τῶν δανεισθέντων αὐτῷ uérsa ἐποίησε περὶ τὸν δεσπότην. ἔστι δὲ ὅτε[2]) ἡ de peculio αὕτη καὶ ὡς εἶδος καὶ ὡς γένος κινεῖται. καὶ πότε τοῦτό ἐστιν; οἷον συνήλλαξα τῷ σῷ οἰκέτῃ οὐδὲ κατὰ κέλευσιν σὴν, οὐδὲ προστάντος αὐτοῦ πραγματείας τῆς κατὰ γὴν ἢ κατὰ θάλασσαν. ἐνταῦθα[3]) ἡ de peculio ἐστὶ καὶ ὡς εἶδος καὶ ὡς γένος. εἰ δὲ ἁρμόζει[4]) σοι ἡ tributoría, δύνασαι ταύτην ἐάσας ἐλθεῖν ἐπὶ τὴν de peculio ἤτοι de in rem uerso. ἐνταῦθα δὲ οὐ πάντως καταγινώσκομεν τοῦ ἐάσαντος τὴν tributorian καὶ ἐλθόντος ἐπὶ τὴν de peculio· ποτὲ μὲν γὰρ ἡ de peculio καλλίων εὑρίσκεται τῆς tributorias καὶ ποτὲ[5]) ἔλαττον περιποιεῖ τῆς tributorias. καὶ τότε[6]) καλλίων ἡ tributoría, οἷον ἡνίκα πολλὰ ὑπέστη φυσικὰ χρέη. τῆς μὲν γὰρ tributorias κινουμένης, οὐδὲν ἐξαιρεθήσεται φυσικὸν χρέος. ἔσον γὰρ τὸ τοῦ δεσπότου χρέος ἐστὶ καὶ τὸ[7]) τῶν creditórων καὶ οὐδεμίαν προτίμησιν ἐν αὐτῇ ὁ δεσπότης ἔχει[8]), οὐδὲ ἐξαιρεῖται τὸ αὐτῷ ἐποφειλόμενον. τῆς de peculio κινουμένης, καλλίων ἡ τοῦ δεσπότου αἵρεσις· ἐξαιρεῖται γὰρ τὸ φυσικὸν χρέος, τουτέστι τὸ τῷ δεσπότῃ ἐποφειλόμενον, καὶ οὕτως εἰς τὴν λειπομένην ποσότητα τῷ δανειστῇ τοῦ δούλου καταδικάζεται ὁ δεσπότης[9]). καλλίων δὲ ἡ ἐναγωγὴ[10]) τῆς de peculio ἐστὶν, ἤπερ τῆς tributorias[10a]) ἐν τούτῳ, ὅτι κινουμένης τῆς de peculio παντὸς τοῦ peculiu γίνεται λόγος· τῆς δὲ tributorias κινουμένης, ἐκεῖνο μόνον ἐν δικαστηρίῳ σκοπεῖται, εἰς ὃ ὁ

---

1) —ῆσαι Vi. F. R. 2) καὶ ins. L6. 3) δὲ ins. L6.
4) σει L6. F2. 5) ποτὲ δὲ Vi. R. 6) ποτὲ M. L1. L3.
7) d. Vi. 8) ἐν αὐτῇ h. l. L6. 9) ὁ δεσπ. τοῦ δ. καταδ. Vi. R.
10) ἐπὶ om. cum M. 10a) καὶ ad. L6.

qui eas omittit, quae facilem probationem habent et quae solidum actori parant, et ad actionem de peculio transit. nam difficile est primum probare quantum in peculio sit (res enim peculiares extraneis non sunt manifestae): et si quis magno labore probauerit quantum in peculio sit, poterit ei debitum naturale opponi, quod peculium minuat. difficile quoque est probare quantum ex eo, quod seruus mutuo accepit, in rem domini uersum est. Actio autem haec de peculio interdum et ut genus et ut species exercetur. et quando id fit? ut ecce cum seruo tuo contraxi, non iussu tamen tuo neque praeposito eo cuilibet negotiationi terrestri uel maritimae. hoc enim casu actio de peculio ut genus atque ut species intenditur. nam si tibi actio tributoria competit, potes, ea omissa, ad actionem de peculio seu de in rem uerso transire: hic autem non omnino eum improbamus, qui tributoriam omittit atque ad actionem de peculio transit. modo enim actio de peculio magis expedit quam tributoria, modo autem minus quam tributoria habet commodi. et tunc tributoria agere expedit, ueluti quotiens plura naturalia sunt debita: nam, cum tributoria agitur, nullum naturale debitum excipitur; in pari enim causa sunt, ea quae domino et ea, quae creditoribus debentur, neque ullum priuilegium in ea dominus habet, neque id quod ei debetur deducitur. at in actione de peculio melior est condicio domini; naturale enim debitum deducitur, nempe quod domino debetur, et ideo in id, quod reliquum est, creditori serui dominus condemnabitur. rursus melior intentio actionis de peculio est, quam tributoriae; quoniam in actione de peculio totius peculii ratio habetur, at in tributoria illa pars tantum in iudicio spectatur, in qua seruus negotiatur, tertia forte aut quarta

οἰκέτης πραγματεύεται μέρος τοῦ peculiu[1], *τὸ τρίτον τυχὸν ἢ τὸ τέταρτον ἢ καὶ τὸ ἑκτὸν μέρος τοῦ* peculiu. *καὶ οὐδὲ αὐτὸ ὅλον φέρεται τὸ ἕκτον μέρος τοῦ* peculiu, *εἰς ὃ ὁ*[2]) *οἰκέτης πραγματεύεται, κινουμένης τῆς* tributorias, *ἀλλὰ τὸ ὑφαιρεθὲν ὑπὸ τοῦ δεσπότου ἐν τῇ διανεμήσει τῶν φορτίων, ὥςτε οὖν μέρους μέρος φέρεται. τοῦ δὲ ἑτέρου* peculiu *ὅπερ ἐστὶν ἐν κτήμασι καὶ ἀνδραπόδοις καὶ οἷς ἐποφείλεται ὑφ' ἑτέρων*[3]) *οἰκέτης δανείσας τυχόν τινι οὐ γίνεται λόγος. ὥςτε δεῖ τινα σκοπήσαντα πρότερον καθ' ἑαυτὸν*[4]) *τὸ συμφέρον αὐτῷ, ἢ τὴν* tributorian *ἢ τὴν* de peculio *ἐπιλέξασθαι. εἰ δέ τις δύναται ἀποδεῖξαι ὅτι τὰ δανεισθέντα ὑπ' αὐτοῦ εἰς τὴν οὐσίαν προεχώρησε τοῦ δεσπότου, ἐπιλεγέσθω μᾶλλον τὴν* de peculio, *ἵνα ἀπὸ τοῦ κεφαλαίου τῆς* de in rem uerso *ἢ καταδίκη γένηται.* 6. *Τὰ*[5]) *εἰρημένα ἡμῖν περὶ οἰκέτου καὶ δεσπό-* (6.) *του, τὰ αὐτὰ νοοῦμεν*[6]) *περὶ υἱοῦ καὶ θυγατρὸς καὶ ἐκγόνου καὶ ἐκγόνης, καὶ πατρὸς ἔτι δὲ καὶ πάππου, ὧν ὑπεξούσιοί εἰσιν οὗτοι.* 7. *Ἐκεῖνο δὲ ἰδιαζόντως ἐπὶ τῶν ἐλευθέρων τῶν* (7.) in potestate *σκοπεῖται, ὅτι τὸ* macedoniánion *δόγμα ὡς ἐν παραγραφῇ*[7]) *ἀντίκειται τοῖς δανείσασιν ὑπεξουσίοις. τί δὲ τοῦτό ἐστιν ἀναγκαῖον εἰπεῖν.* Macédωn *τις οὕτω λεγόμενος γέγονεν ἐν τῇ Ῥώμῃ*[8])· *ὑπεξούσιος ὢν τῷ οἰκείῳ πατρὶ ἐδανείσατο παρά τινος, ἐλπίζων ὅτι τελευτήσαντος αὐτοῦ τοῦ πατρὸς δυνήσεται τὸ χρέος ἀποδιδόναι*[9]). *πολλοῦ χρόνου διαδραμόντος, ὁ δανειστὴς ἐπέκειτο τὸ χρέος ἀπαιτῶν. ὁ* Macédωn *οὐκ ἔχων πόθεν ἀποδῷ*[10]), *(πῶς γὰρ ὑπεξούσιος ὤν;) ἀνεῖλε τὸν ἑαυτοῦ πατέρα. ἐγνώσθη τοῦτο τῇ συγκλήτῳ κἀκεῖνος μὲν δίκας δέδωκε πατροκτονίας, δόγμα δὲ λεγόμενον* macedoniánion *γέγονε τὸ κελεῦσαν μηδένα δανείζοντα ἐλευθέρῳ ὑπεξουσίῳ ἀπαιτεῖν τὸ δανεισθὲν*[11]), *ἵνα τούτῳ τῷ τρόπῳ ἕκαστος εἰδώς, ὡς οὐ*[12]) *δύναται ἀπαιτῆσαι τὸ δάνεισμα,*

---

1) *ὁ οἰκ.* h. l. omn. praet. M. 2) ad. ex M. L⁶. Vi. R. 3) *ὁ* ins. L⁶. Vi. R. 4) *δ.* Vi. R. 5) *δὲ* ins. Vi. R. 6) *καὶ* ins. Vi. F¹. R. 7) *ὡς π—ῇ* M. 8) *ὃς* ins. Vi. R. 9) M.: cet. *—δοῦναι.* 10) *—δοῦναι* L⁶.: *ἂν ἀπ.* Vi. R. 11) *τὰ δανεισθέντα* Vi. R. 12) *μὴ* M.

aut etiam sexta pars peculii. neque illam quidem sextam partem peculii solidam consequitur actor, in qua seruus negotietur, si tributoria agatur; set id tantum, quod a domino in mercium distributione ablatum est. partis igitur partem actor consequitur. reliquae autem peculii partis, quae in praediis et mancipiis est, et eius, quod seruo ab aliis forte ex mutuo debetur, ratio non habetur. oportet igitur quemquam prius quid sibi expediat considerare et deinceps tributoriam actionem uel de peculio eligere. certe si quis probare potest ea quae mutuo dedit in rem domini uersa esse, actionem de peculio eligere debet, ut ex capite de eo, quod in rem
6. uersum est, condemnatio fiat. 6. Quae diximus de seruo et domino, eadem intellegimus et de filio et filia et nepote
7. et nepte et de patre et auo, in quorum potestate sunt. 7. Illud autem proprie seruatur in liberorum persona, qui in potestate sunt, quod senatusconsultum Macedonianum exceptionis modo iis opponitur, qui mutuum filiofamilias dederint. quid autem hoc sibi uelit dicere oportet. fuit Romae quidam nomine Macedo, qui cum in sui patris potestate esset, mutuam pecuniam a quodam accepit sperans parentis sui morte aes alienum soluere posse. longo tempore elapso, urguebat creditor pecuniam repetens. Macedo non habens unde daret, utpote qui filiusfamilias esset, patrem suum occidit. res ad senatum relata est. et ille quidem parricidii poenas luit, senatusconsultum autem Macedonianum factum est, quo cautum est, ut nemo, qui filiofamilias crediderit, mutuum repetere possit; ut ita quisque sciens sese mutuum repetere non posse,

ἀπέχοιτο[1]) τοῦ δανείζειν αὐτῷ. οὐ μόνον δὲ αὐτὸν οὐκ ἀπαιτήσει τὸν ὑπεξούσιον ἢ τὴν ὑπεξουσίαν ἢ τὸν ἔκγονον ἢ τὴν ἐκγόνην ὑπεξουσίους ἔτι ὄντας, ἀλλ' οὐδὲ αὐτεξουσίους γενομένους, τελευτῇ[2]) πατρὸς ἢ emancipationi[3]). οὐδὲ μὴν[4]) κατὰ τοῦ πατρὸς ἢ τοῦ πάππου δύναται κινεῖν τὴν de peculio, εἴτε ἔτι τοὺς παῖδας ὑπεξουσίους ἔχει, εἴτε τούτους emancipátus ἐποίησεν. ταῦτα δὲ διὰ τοῦτο[5]) ἡ σύγκλητος οὕτως ἐνομοθέτησεν, ἐπειδὴ πολλάκις βαρυνθέντες τῷ χρέει οἱ ὑπεξούσιοι ὅπερ λαβόντες ἀσώτως ἐδαπάνησαν, τῶν οἰκείων γονέων ἐπεβούλευον τῇ ζωῇ. 8. Ἐκεῖνο δὲ ὡς ἐν τέλει ὀφείλομεν εἰδέναι, 8.
εἰ καὶ[6]) κατὰ κέλευσιν πατρὸς ἢ δεσπότου συναλλαγῇ[7]) πρὸς τὸν ὑπεξούσιον καὶ ἐποφληθῇ[8]), ἤγουν καὶ uérson γένηται περὶ τὴν αὐτοῦ οὐσίαν, δύναταί τις ἐάσας τὴν de peculio ἤτοι[9]) de in rem uerso ἐξ εὐθείας κινεῖν τὸν condicticion κατὰ τοῦ πατρὸς ἢ κατὰ τοῦ δεσπότου, ὥςπερ εἰ πρωτοτύπως πρὸς αὐτὸν τὸν δεσπότην ἢ τὸν πατέρα[10]) ἐποιήσατο τὸ συνάλλαγμα. ἀλλὰ καὶ ὁ τὴν exercitorian ἢ τὴν institorian ἔχων δύναται τὸν condicticion[11]) κατὰ τοῦ πατρὸς ἢ κατὰ τοῦ δεσπότου κινεῖν, ἐπειδὴ κελεύσει αὐτοῦ πρὸς τὸν ὑπεξούσιον γέγονε τὸ[12]) συνάλλαγμα. εἰρήκαμεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι ὁ προϊστῶν τινα τῆς κατὰ γῆν ἢ κατὰ θάλατταν ἐμπορίας, δοκεῖ πᾶσι παραγγεῖλαι[13]), ὥςτε ἀδεῶς συναλλάττειν τῷ προστάντι ὑπεξουσίῳ.

---

1) –χηται Vi. R.: –χῃ L[6]. 2) τυχὸν ins. Vi. R. 3) —τευθέντας Vi. R. 4) οὐδεμίαν M. 5) διατάττουσα Vi. R. 6) d. Vi. R. 7) συνάλλαγμα Vi. F. R. 8) γέγονεν Vi. R. 9) ἢ Vi. R. τὴν ins. omn. praet. M. 10) πάτρονα Vi. G. 11) καὶ d. cum M. Vi. R. 12) d. L[2]. m. 1 a. F. 13) M.: cet. —έλλειν.

a credendo abstineat. neque tantum contra filium creditor non aget uel contra filiam nepotem neptemue, quamdiu in potestate sint, set neque, si parentis morte uel emancipatione sui iuris facti sint. neque aduersus patrem auumue de peculio agere quis potest, siue liberos adhuc in potestate habeat, siue eos emancipauerit. quae ideo senatus prospexit, quia saepe onerati aere alieno filiifamilias creditas pecunias in luxuriam consumebant et suorum parentium uitae iusidia-
8. bantur. 8. De eo in summa admonendi sumus: licet iussu patris dominiue negotium cum filiofamilias uel seruo gestum sit et quid inde debeatur uel in eorum rem quid uersum sit, posse quem, actione de peculio siue de in rem uerso omissa, directo a patre dominoue condicere, proinde acsi principaliter cum ipso domino patreue contraxisset. set etiam ille, qui exercitoria uel institoria uti potest, a patre dominoue potest condicere; iussu enim eius cum eo, qui in eius potestate est, negotium est contractum. superius enim diximus eum, qui quendam terrestri uel maritimae negotiationi praeponit, omnibus declarare uideri, uti cum eo iuri suo subiecto et rei praeposito secure contrahant.

De noxalibus actionibus[1]). Titulus 8.

Ὥςπερ ἐκ τῶν πρὸς τοὺς ὑπεξουσίους συναλλαγμάτων ἐνάγεται ὁ δεσπότης, οὕτω καὶ ἐξ ὧν αὐτοὶ ἥμαρτον κατέχονται οἱ δεσπόται. ἐὰν γὰρ ὁ σὸς οἰκέτης κλέψῃ τὰ ἐμὰ πράγματα ἢ ἁρπάσῃ ἢ ζημιώσῃ με ἢ ὑβρίσῃ[2]), *ἡ* noxalia *ἀγωγὴ δίδοταί μοι κατά σου· καταδικασθεὶς δὲ ταύτῃ τῇ* noxaliᾳ *ἐξουσίαν ἔχεις ἢ τὸ διαφέρον καταβάλλειν ἢ τὸν οἰκέτην εἰς* nóxan[3]) *παρασχεῖν.* 1. Nόχα *δὲ λέγεται αὐτὸ τὸ* 1.
σῶμα [τὸ βλάψαν[4])] »quod nocuit«[5]) *ἐπειδὴ ἔβλαψεν αὐτὸς ὁ οἰκέτης.* noxia[6]) *δὲ*[7]) *αὐτὸ*[8]) *τὸ κακούργημα ὠνόμασται, οἷον ἡ κλοπὴ ἡ ζημία ἡ ἁρπαγὴ ἡ ὕβρις.* 2. *Ἀρίστῳ δὲ* 2.
λογισμῷ τοῦτο ἐπινενόηται τὸ τὸν δεσπότην καταδικασθέντα τῇ noxaliᾳ *δύνασθαι τὸν οἰκέτην ἐκδοῦναι ἐκείνῳ, εἰς ὃν τι ἐπλημμέλησεν ὁ οἰκέτης. ἀτοπώτατον γὰρ ἐνομίζετο τὴν τῶν οἰκετῶν*[9]) *ἀγριότητα ἐπιζήμιον εἶναι τοῖς δεσπόταις περαιτέρω τῶν σωμάτων αὐτῶν. ὥςτε οὖν καταδικασθεὶς ἐγὼ ὑπὲρ τοῦ οἰκέτου τῇ* noxaliᾳ *εἰς οὐδὲν ἕτερον ἄκων ζημιοῦμαι ἢ εἰς τὸ δοῦναι αὐτὸν εἰς* nóxan, *τὴν γὰρ διατίμησιν τοῦ ἁμαρτήματος ἄκων οὐ καταβάλλω.* 3. *Παρασχὼν δὲ εἰς* nóxan *τὸν πταί-* 3.
σαντα οἰκέτην ἐγὼ τῷ ἐνάγοντι ἐλευθεροῦμαι τῆς noxalias *εἰς τὸ διηνεκὲς μεταφέρων τὴν δεσποτείαν ἐπὶ τὸν λαμβάνοντα. οὐ γὰρ λέγομεν ὅτι διὰ τῶν οἰκείων* operõn *καὶ τῆς ἰδίας*[10]) *ὑπερησίας ὁ οἰκέτης ἀποπληρώσας τὴν τοῦ ἁμαρτήματος*[11]) *διατίμησιν ἐκείνῳ*[12]), *εἰς ὃν ἥμαρτεν, ἤγουν καὶ εὐπορήσας ποθὲν χρημάτων καὶ ταῦτα προσαγαγὼν*[13]) *ὑποστρέφει πρὸς τὸν δεσπότην, ἀλλὰ προσίτω τῷ* praétori *καὶ τοῦτο*[14]) *αὐτῷ*[15]) *ἀποδείξας ἄκοντος τοῦ ἔχοντος αὐτὸν εἰς* nóxan *ὑπὸ τοῦ*

---

1) *Περὶ βλαβερᾶς* [*ἤτοι νοξαλίας* d. L6. Vi. R.] *ἀγωγῆς.* ad. libri ed. 2) *με* ad. Vi. R. 3) —*αλίαν* L2. 4) dele. 5) d. Vi. R. 6) —*αλία* L1. L2. 7) *δ.* L2. Vi. 8) d. Vi. 9) *τοῦ οἰκέτου* Vi. R. 10) *οἰκείας* L6. Vi. R. 11) *τὴν* h. l. L1. L2. Vi. F. R. 12) —*ον* M. —*ων* L2. 13) —*άγων* L2. 14) —*τῳ* M. 15) —*τὸ* M. L2.

De noxalibus actionibus. Titulus 8.

Quemadmodum ex seruorum contractibus dominus tenetur,
ita ex seruorum maleficiis domini conueniuntur. nam si tuus
seruus res meas furatus sit, aut rapuerit aut mihi damnum
dederit aut iniuriam fecerit, noxalis actio mihi contra te
dabitur. iudicio uero noxali condemnato permittitur tibi aut litis
1. aestimationem soluere aut hominem noxae dedere. 1. 'Noxa'
autem dicitur ipsum corpus, quod nocuit; quia ipse seruus
nocuit. 'noxia' autem ipsum maleficium uocatur, ueluti
2. furtum damnum rapina iniuria. 2. Summa autem ratione
id introductum est, ut nempe dominus, qui noxali actione est
condemnatus, illi seruum dedere possit, in quem hic noxiam
commisit. absurdum enim putabatur seruorum nequitiam
ultra ipsorum corpora dominis esse damnosam. itaque si
ego nomine serui noxali actione condemnatus fuero, nullo
alio damno inuitus adficiar, quam ut seruum noxae dem;
3. noxiae enim aestimationem soluere non cogor. 3. Si igitur
seruum qui nocuit noxae actori dedero, actione noxali liberabor, dominio eius in perpetuum translato in actorem. non
enim dicimus seruum, si operis suis ac ministerio suo noxiae
aestimationem ei, quem laederat, resacierit, uel alicunde
quaesitam pecuniam ei praebuerit, ad dominum rediturum. set
praetorem adeat; cui si id probauerit, etiam inuito eo qui

praétoros *ἐλευθεροῦται.* 4. *Ἐπινενόηνται δὲ* noxáliai *ἀγωγαὶ* 4. *ἢ ὑπὸ τῶν*[1]) *νόμων ἢ ἐκ τοῦ* edictu *τοῦ* praétoros. *ὑπὸ τῶν νόμων οἷον ἡ* furti (*ταύτην γὰρ ἐξηῦρεν ὁ δωδεκάδελτος*) *ἐστὶ δὲ καὶ ἡ* noxalía[2]) *τοῦ* aquiliu[3]) (*ταύτην γὰρ ἐπενόησεν ὁ* aquilios)· *ἐκ τοῦ*[4]) edictu *τοῦ* praétoros *ἡ* noxalia iniuriarum *καὶ ἡ* noxalía[5]) ui bonorum raptorum. 5. *Κανών ἐστιν ὑπὸ* 5. *τῶν ἀρχαίων παραδεδομένος ὁ λέγων·* noxa caput sequitur. *θεωρεῖται δὲ οὗτος ἐπὶ τῶν τοιούτων θεμάτων. ὁ σὸς οἰκέτης ἔκλεψεν ἐμὰ πράγματα· ἐφ' ὅσον ἐστὶν ὑπὸ τὴν σὴν ἐξουσίαν, ἔχω κατά σου τὴν* noxalian furti, *εἰ δὲ εἰς ἕτερον μετέλθῃ*[6]) *δεσπότην, κατ' ἐκείνου κινηθήσεται ἡ* noxalía. *εἰ δὲ ἐλευθερωθῇ, κατ' αὐτοῦ ἕξω τὴν* diréctan furti[7]) *καὶ ἡ* noxalía *ἀποσβέννυται. καὶ ἐκ τοῦ ἐναντίου δὲ*[8]) *ἡ* dirécta *δύναται γίνεσθαι* noxalía· *ἐὰν γάρ τις ἐλεύθερος ὢν κλέψῃ τὰ ἐμὰ πράγματα, οὗτος δὲ*[9]) *μετὰ ταῦτα γένηται δοῦλος, οἷον* (*ὡς εἰρήκαμεν ἐν τῇ πρώτῃ* institutioni) *ἡνίκα ἀνάσχηται ἑαυτὸν πραθῆναι* ad pretium participandum *καὶ γένηται σὸς δοῦλος, ἡ πάλαι* dirécta furti *νῦν γενήσεται* noxalía. 6. *Ὁ ἐμὸς* 6. *οἰκέτης ἔκλεψεν ἐμὰ πράγματα. οὐδεμία τίκτεται ἀγωγή· μεταξὺ γὰρ δεσπότου καὶ τοῦ ὑπεξουσίου αὐτοῦ οὐδεμία ἐνοχὴ ἀναφύεσθαι δύναται. εἰ δὲ καὶ*[10]) *εἰς τὴν*[11]) *ἑτέρου ὑπεξουσιότητα ὁ οἰκέτης παρεγένετο ἤγουν καὶ ἐλευθερωθῇ, οὔτε κατὰ τοῦ ἐλευθερωθέντος*[12]) *οὔτε κατὰ τοῦ νῦν δεσπόζοντος αὐτοῦ δύναμαι κινεῖν ἀγωγήν. ἡ γὰρ μὴ τεχθεῖσα ἀγωγή, ἥτις ἐξ αὐτοῦ*[13]) *πλημμελήματος οὐκ ἐτίκτετο διὰ τὸ*[14]) *οἰκέτην ἐμὸν εἶναι τὸν κλέψαντα, αὕτη μετὰ ταῦτα τίκτεσθαι οὐ δύναται ἐκ τοῦ χωρισθῆναι τὸν κεκλοφότα τῆς ἐμῆς ὑπεξουσιότητος. Οὕτω*[15]) *δὲ ἀληθές ἐστιν, ὅτι μεταξὺ οἰκέτου καὶ δεσπότου οὐδεμία ἐνοχὴ δύναται συνιστάναι, ὅτι*[16]) *ἐὰν*

---

1) *δ.* M. 2) [*ἤτοι* L^2.] *ἡ ἀπὸ ζημίας* ins. M. L^2. L^6. Vi. R. 3) oxálios quilios ins. M. 4) *αὐτοῦ* ins. M. 5) *ἡ* L^6. 6) *—ετέθη* Vi. R. 7) *ἤτοι ὀρθὴν κλοπῆς* L^2. 8) *δ.* Vi. F. R. 9) *δ.* M. 10) *δ.* Vi. R. 11) *δ.* Vi. R. 12) *—ώσαντος* Vi. G. 13) *τοῦ* om. cum M. 14) *τὸν* om. cum M. L^6. 15) M. L^6.: cet. *τοῦτο*. 16) *καὶ* Vi. F^1. R. ins.

4. noxae accepit, a praetore manumittetur. 4. Sunt autem constitutae noxales actiones aut legibus aut edicto praetoris. legibus, ueluti furti, quam lex XII tabularum introduxit. est etiam noxalis actio legis Aquiliae: hanc enim [lex] Aquilia constituit: praetoris edicto, ueluti noxalis actio
5. iniuriarum et noxalis actio ui bonorum raptorum. 5. Regula nobis a ueteribus tradita est noxam caput sequi. haec uero in eiusmodi casibus spectatur. seruus tuus res meas est furatus; quamdiu in tua est potestate, contra te actione furti noxali experiri potero; quod si ad alium dominum peruenerit, cum illo erit actio noxalis; et si manumissus fuerit, directam furti contra eum habebo et noxalis extinguitur. ex diuerso directa actio noxalis fieri potest; nam si liber homo meas res sit furatus et deinde seruus esse coeperit (ueluti, sicuti prima institutione tradidimus, si uenire se ad pretium participandum sit passus) et seruus tuus factus sit, incipit nunc esse noxalis furti actio,
6. quae antea directa fuerat. 6. Seruus meus res meas furatus est; nulla inde oritur actio; nam inter dominum et eum, qui in eius potestate est, nulla obligatio nasci potest. ideoque et si in alienam potestatem seruus peruenerit aut manumissus fuerit, neque cum ipso manumisso neque cum eo, cuius nunc in potestate est, agere possum. nondum enim nata actio (quae ex ipso maleficio non est orta, quia meus seruus fuerat, qui furatus est), nequit postea ideo nasci, quod fur e mea exierit potestate. adeo autem uerum est inter seruum

ὁ[1]) ἀλλότριος οἰκέτης κλέψῃ τὰ σὰ πράγματα, ὡς τεχθῆναί σοι ἐντεῦθεν τὴν furti καὶ οὕτως[2]) μετὰ ταῦτα ὑπὸ τὴν σὴν γένηται[3]) δεσποτείαν, ἀποσβέννυται ἡ ἤδη τεχθεῖσα[4]) furti ἀγωγὴ διὰ τὸν κανόνα τὸν λέγοντα· ἡνίκα θέμα εἰς τοιοῦτον περισταίη κάσον, ἀφ' οὗ τὴν ἀρχὴν λαμβάνειν οὐκ ἠδύνατο ἀποσβέννυται. εἰ δὲ ἡνίκα ἔκλεψεν ἦν ὑπὸ τὴν σὴν δεσποτείαν, ἐπειδὴ[5]) οὐκ ἐτίκτετό σοι ἀγωγή, διὰ τοῦτο σοῦ δεσπόσαντος αὐτοῦ ἡ ἤδη τεχθεῖσα ἀναιρεῖται ἀγωγή. οὕτω δὲ ἀποσβέννυται σοῦ δεσπόσαντος[6]) μετὰ ταῦτα τοῦ οἰκέτου, ὅτι εἰ καὶ τὴν σὴν ὑπεξουσιότητα ἐξῆλθεν[7]), οὐ δυνήσῃ κινῆσαί τινα[8]) ἀγωγήν (πῶς γὰρ τὴν ἤδη σβεσθεῖσαν;). εἶπον γὰρ ἤδη πολλάκις, ὅτι[9]) δεσπότης κατὰ[10]) οἰκέτου οὐδεμίαν κτᾶται ἀγωγήν. ὥςπερ[11]) οὐδὲ ἐὰν ὁ[12]) δεσπότης πταίσῃ τι εἰς τὸν οἰκέτην, οἷον ὑβρίσας[13]) ἢ τυπτήσας αὐτόν, οὐδεμίᾳ κατασχεθήσεται ἀγωγῇ, οὐδὲ ἐὰν ἐλευθερωθῇ ἢ τῆς ἑτέρου γένηται[14]) δεσποτείας ὁ ταῦτα ὑποστὰς οἰκέτης. 7. Ταύτας 7. δὲ τὰς noxalias ἀγωγὰς οἱ παλαιοὶ καὶ ἐπὶ τῶν υἱῶν τῶν ὑπεξουσίων καὶ ἐπὶ θυγατέρων προσεδέχοντο. ἡ δὲ μετὰ ταῦτα τῶν ἀνθρώπων ἀναστροφὴ[15]) καὶ πολιτεία τὴν τοιαύτην ἐξέβαλε τραχύτητα καὶ κατεφρόνησε ταύτης ὀρθῶς ποιοῦσα καὶ τῆς κοινῆς χρήσεως παντελῶς ἐξώθησεν. τίς γὰρ εὐφρονῶν ἀνάσχοιτο[16]) τὸν ἴδιον παῖδα καὶ μάλιστα[17]) θυγατέρα εἰς nóxan ἑτέρῳ παρασχεῖν, ὥςτε σχεδὸν τὸν πατέρα εἰς τὸ οἰκεῖον κινδυνεύειν σῶμα[18]) ἤπερ τὸν παῖδα, ὃς[19]) τοιαῦτα ὑφίσταται; ἐπὶ δὲ τῶν θυγατέρων καὶ ἡ περὶ τῆς σωφροσύνης σπουδὴ καλῶς τῆς πολιτείας ἐξέβαλε τοῦτο. καὶ[20]) τούτου χάριν ἤρεσεν ἐπὶ μόνων[21]) οἰκετῶν τὰς noxalias ἁρμόζειν, ὁπότε

---

1) d. Vi. F¹. R. 2) M.: cet. οὗτος. 3) Vi. R.: cet. γενήσεται. 4) σοι ins. L⁶. 5) δὲ ins. M. 6) —ζοντος Vi. R. 7) ἐκφύγῃ Vi. R.: ἐξ. ὑπεξ. L¹. L². L⁶. 8) M. L⁶.: cet. τὴν. 9) ὁ d. M. L¹. L². 10) ἀπὸ M. τοῦ om. cum M. L². 11) ὅτι M. 12) d. Vi. R. 13) αὐτὸν h. l. Vi. F. R. 14) M. Vi. R.: cet. γενήσεται. 15) —τροφὴ M. 16) M.: —σχοι Vi. R. —σχοι τὸ F. 17) μᾶλλον Vi. R. 18) σῶμα κινδ. L². 19) τὰ ins. Vi. F. R. 20) δ. Vi. R. 21) τῶν ins. L⁶.

dominumque nullam actionem consistere posse, ut si alienus seruus res tuas sit furatus, et inde actio furti tibi sit quaesita, ac postea is in potestate tua esse coeperit, intercidit quae iam nata fuerat furti actio, propter iuris regulam, quae ait: »si species in eum deducta sit casum, a quo initium capere non potuisset, extinguitur«. nam si cum furtum commisit in tua fuisset potestate, non esset tibi actio quaesita; et ideo cum in tua potestate esse coeperit, actio iam nata intercidet. et adeo extinguitur actio, si postea serui potestatem adquisieris, ut licet ex tua potestate exierit, agere non possis (quomodo enim iam extincta resurgeret actio?) iam enim saepius dixi nullam domino aduersus seruum actionem quaeri. et ideo neque si dominus noxiam in seruum commiserit (ueluti si contumelia aut uerberibus eum adfecerit), ulla actione tenebitur, neque si manumissus fuerit aut in alterius potestate esse coeperit qui haec passus est seruus.

7. 7. Hasce uero noxales actiones ueteres etiam in filiis filiabusque familias admiserunt. noua autem hominum conuersatio atque consuetudo huiusmodi asperitatem respuit et merito contempsit atque ab usu communi reiecit. quis enim sanae mentis patiatur filium suum et maxime filiam suam in noxam alii dare, ut fere circa corpus suum magis pater periclitetur, quam filius ipse, qui ea sustinet? in filiabus autem pudicitiae quoque fauor recte id ab usu exclusit. et ideo placuit in seruos tantummodo noxales actiones proponendas

καὶ οἱ πάλαι τοὺς νόμους ὑπομνηματίσαντες εἰρήκασι τοῦτο πολλάκις, ὅτι[1] *αὐτοὺς τοὺς ἐλευθέρους ὑπεξουσίους ὑπὲρ τῶν οἰκείων πραγμάτων δύνασθαι*[2] *μεθοδεύεσθαι*[3].

Si quadrupes pauperiem fecisse dicitur[4]. Titulus 9.

Καὶ τῶν ἀλόγων ζώων χάριν ζημιούντων ἑτέρους ἐπενοήθησαν noxáliai. *ἀλλὰ* furti noxalian *ἢ* ui bonorum raptorum *ἢ* iniuriarum *οὐκ ἔστιν εἰπεῖν ἐπὶ*[5] *αὐτῶν χώραν ἔχειν. ἆρα δὲ ὁ* noxálios aquílios *ἐπὶ αὐτῶν*[6]*; καὶ*[7] *λέγομεν, ὅτι*[8] *οὐδαμῶς, ἐπειδὴ ἔχει τὴν ζήτησιν*[9] damni iniuria, *τουτέστι τῆς ἀδίκως γινομένης ζημίας. τὸ δὲ δίκαιον καὶ ἄδικον ἀπὸ διακεκριμένης*[10] *πρόεισι ψυχῆς· τὰ δὲ ἄλογα ζῶα ἐστέρηνται λογισμοῦ. τί οὖν; ὁ δωδεκάδελτος ἐπενόησεν ἐπὶ τούτων τὴν* noxalian. *κινεῖται οὖν κατὰ τοῦ δεσπότου ὁ* noxálios *δωδεκάδελτος. ἐὰν οὖν κατὰ τρυφὴν ἢ κατὰ*[11] *θερμότητα ἢ ἀγριότητα τὸ*[12] *ἄλογόν σου ζῶον* pauperiem mihi fecerit[13], *τουτέστι ζημιώσῃ,* noxálios *κινεῖται ὁ δωδεκάδελτος, καὶ ἐὰν τοῦτο τὸ ζῶον εἰς* nóxan *παρασχεθῇ, ὁ ἐναχθεὶς ἐλευθεροῦται. τοῦτο γὰρ αὐτός φησιν ὁ δωδεκάδελτος· οἷον ἵππος ἦν λακτιστὴς καὶ*[14] *λὰξ δούς τινι τοῦτον ἔβλαψεν. χώρα δέ ἐστι τῷ* noxalíῳ *δωδεκαδέλτῳ ἐπὶ ἐκείνων τῶν ζώων, ἅτινα παρὰ φύσιν ἀγριούμενα ἕτερον βλάπτει. εἰ γὰρ ἔμφυτος αὐτοῖς*

---

1) M. L6.: cet. *ὥςτε.* 2) *—άμεθα* L6. 3) *καὶ χρηματικῶς εὐθύνεσθαι καὶ μὴ ἐκδίδοσθαι αὐτοὺς ὡς τὸ παλαιόν.* ad. Vi. R. 4) *Ἐὰν τὸ* [d. L1.] *τετράποδον πτωχείαν* [*ζημίαν* L6. Vi. F. R.] *ποιῆσαι λέγεται.* ad. libri. ed. 5) *τῶν* ins. L2. 6) *δ.* Vi. R.: *δύναται κινεῖσθαι* ad. L1. m. 2a. 7) d. L2. L6. 8) *δ.* Vi. G. 9) d. M. Pi. L1. L2. L6. Vi. G. 10) *ἀποκρ.* M.: *κεκριμ.* L1. L2.: *κεκρυμμένης* L6. 11) d. Vi. R. 12) d. L2. 13) *πτωχείαν μοι ποιήσῃ* L2. 14) d. L1. F2.

esse, cum et ueteres iuris interpretes saepius dixerint; ipsos filiosfamilias pro suis delictis posse conueniri.

Si quadrupes pauperiem fecisse dicitur. Titulus 9.

